www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
ΚΑΙ
# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ




ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ

# ΙΩΑΝΝΗΝ ΜΑΞΙΜΟΒΙΤΣ

ΕΠΙΣΚΟΠΟΝ ΣΑΓΓΑΗΣ ΚΑΙ ΣΑΝ ΦΡΑΝΣΙΣΚΟ
ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ


ποίημα
Δρος ΧΑΡΑΛΑΜΠΟΥΣ Μ. ΜΠΟΥΣΙΑ
ΜΕΓΑΛΟΥ ΥΜΝΟΓΡΑΦΟΥ ΤΗΣ ΤΩΝ ΑΛΕΞΑΝΔΡΕΩΝ ΕΚΚΛΗΣΙΑΣ



ΕΚΔΟΣΙΣ
ΙΕΡΑΣ ΜΟΝΗΣ ΑΓΙΟΥ ΝΕΚΤΑΡΙΟΥ
ΤΡΙΚΟΡΦΟΥ ΦΩΚΙΔΟΣ

2006


ΧΑΙΡΕΤΙΣΤΗΡΙΟΙ ΟΙΚΟΙ

ποίημα Ἰσιδώρας Μοναχῆς Ἁγιερόθεϊτίσσης


Ἐκδοτική Παραγωγή ΕΠΤΑΛΟΦΟΣ Α.Β.Ε.Ε.

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
ΚΑΙ
# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ

# ΙΩΑΝΝΗΝ
ΤΟΥΠΙΚΛΗΝ **ΜΑΞΙΜΟΒΙΤΣ**

ΕΠΙΣΚΟΠΟΝ ΣΑΓΓΑΗΣ ΚΑΙ ΣΑΝ ΦΡΑΝΣΙΣΚΟ

ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

ποίημα

Δρος ΧΑΡΑΛΑΜΠΟΥΣ Μ. ΜΠΟΥΣΙΑ

ΜΕΓΑΛΟΥ ΥΜΝΟΓΡΑΦΟΥ ΤΗΣ ΤΩΝ ΑΛΕΞΑΝΔΡΕΩΝ ΕΚΚΛΗΣΙΑΣ

*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος.*

*(Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.*

*(Ψαλμ. 145, 2)*

ΕΚΔΟΣΙΣ

ΙΕΡΑΣ ΜΟΝΗΣ ΑΓΙΟΥ ΝΕΚΤΑΡΙΟΥ

ΤΡΙΚΟΡΦΟΥ ΦΩΚΙΔΟΣ

2006

www.tezaurliturgic.ro

# Ἀκολουθία καί Παρακλητικός Κανών
## εἰς τόν ἐν Ἁγίοις Πατέρα ἡμῶν
# Ἰωάννην Μαξίμοβιτς

Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια

ἔκδοσις-ἐπιμέλεια: Ἱερά Μονή Ἁγίου Νεκταρίου Φωκίδος

Ἐκτύπωσις:

Τυπογραφεῖον Lettra. Τζουβάρας Βασίλειος

© Copyright: ΙΕΡΑ ΜΟΝΗ ΑΓΙΟΥ ΝΕΚΤΑΡΙΟΥ ΦΩΚΙΔΟΣ

ΤΡΙΚΟΡΦΟΝ 330 56 ΕΥΠΑΛΙΟΝ

ΤΗΛ. καί FAX. 26340 - 44391

e-mail: agnektar@mes.forthnet.gr

Ἔκδοσις πρώτη: Σεπτέμβριος 2006

www.tezaurliturgic.ro



Ἀφιερώνεται

Στή μακαριστή
Ζηναΐδα μας πού
πρόσφατα ἔφυγε
γιά νά συναντήσει
τόν Ἅγιο Ἰωάννη...



www.tezaurliturgic.ro







# 2 ΙΟΥΛΙΟΥ

## ἑορτή ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΜΑΞΙΜΟΒΙΤΣ

Ἡ Ἱερά Μονή μας κάθε χρόνο στίς 2 Ἰουλίου τιμᾶ τήν μνήμην τοῦ "ἐν Ἁγίοις Πατρός ἡμῶν" Ἰωάννου Μαξίμοβιτς.





*Εἰκόνες καί στιγμιότυπα ἀπό τήν πρώτη πανηγυρική ἑορτή.*

www.tezaurliturgic.ro

# ΑΓΙΟΣ ΙΩΑΝΝΗΣ ΜΑΞΙΜΟΒΙΤΣ
## ΕΠΙΣΚΟΠΟΣ ΣΑΓΓΑΗΣ ΚΑΙ ΣΑΝ ΦΡΑΝΣΙΣΚΟ

### Ἀπολυτίκιον.
**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Ἰωάννη Μαξίμοβιτς, ἀγγελόμορφε,
ἱεραρχῶν θεοφόρων
καὶ διδασκάλων σοφῶν
ἐκλαμψάντων ἄρτι σάπφειρε πολύτιμε,
ὡς Ὀρθοδόξων ἀσκητῶν
καλλονὴν καὶ ποταμὸν
ἀστείρευτον θαυμασίων
σὲ ἀνυμνοῦντες εὐχάς σου
θερμὰς πρὸς Κύριον αἰτούμεθα.

### Κοντάκιον.
**Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Τὸν ταπεινόν, ἁπλοῦν, φιλόθεον, φιλάρετον,
σεμνόν, μακρόθυμον, πραῢν καὶ εὐσυμπάθητον
εὐφημήσωμεν Ὀρθόδοξον ἱεράρχην,
Ἰωάννην τὸν Μαξίμοβιτς, μελίσμασιν
ὡς θαυμάτων φρέαρ ὄντως ἀκεσώδυνον
πόθῳ κράζοντες· Χαίροις, χάριτος σκήνωμα.

### Μεγαλυνάριον.

Χαίροις, ἱεράρχα νεοφανές,
μάκαρ Ἰωάννη,
ταπεινώσεως κορυφή,
χαίροις, ὁ ἀνύσας
οὐρανοδρόμον ἄρτι
πορείαν καὶ θαυμάτων
κρήνη γενόμενος.

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

# Πρόλογος

Μέ πνευματική χαρά καί συγκίνηση προβαίνουμε στήν ἔκδοση τῶν Ἱερῶν Ἀκολουθιῶν τοῦ νεοφανοῦς Ἁγίου Ἰωάννου Μαξίμοβιτς, τοῦ ὁποίου τόν βίο ἐκδόσαμε στά ἑλληνικά πρίν δύο χρόνια. Ἔκτοτε ὅλο καί περισσότερο γίνεται γνωστός καί ἀγαπητός ὁ Ἅγιος Ἰωάννης, ὁ ὁποῖος ἄν καί νεοφανής, κοιμήθηκε μόλις τό 1966, ὁ Θεός τόν ἐδόξασε τηρώντας τό ἅγιο Λείψανό του ἄφθαρτο καί εὐωδιάζον. Ἀγαπήθηκε τόσο εἰς τήν Ἀμερικήν, ὅπου ἔζησε, δοξάσθηκε ἀπό τό Θεό μέ τήν ἀφθαρσία καί μυροβλυσία τοῦ ἁγίου Λειψάνου του καί στή Ρωσία, ἀπ᾽ ὅπου καταγόταν, ὅσο καί στήν Εὐρώπη, ὅπου ὑπηρέτησε ὡς Ἐπίσκοπος Δυτικῆς Εὐρώπης. Στήν Ἑλλάδα ἔγινε γνωστός ἀπό τό βιβλίο πού ἐξέδοσε ἡ Ἱερά Μονή μας. Αὐτή ἡ ἀγάπη τοῦ κόσμου εἶναι πού δημιούργησε τήν ἐπιτακτική ἀνάγκη νά γραφοῦν οἱ ἱερές ἀκολουθίες τοῦ Ἁγίου γιά νά τόν τιμοῦμε ἐγκωμιαστικά καί νά τόν ἐπικαλούμεθα στίς προσευχές καί παρακλήσεις μας.

Στήν ἐπιτακτική ἀνάγκη αὐτή ἀνταποκρίθηκε, μέ τό θεῖο χάρισμά του, ὁ δόκιμος ὑμνογράφος τῆς Ἐκκλησίας Δρ Χαράλαμπος Μπούσιας, τόν ὁποῖο καί θερμῶς εὐχαριστοῦμε γιά τήν θαυμασία πνευματική του ἐργασία.

Εὐχόμεθα ταπεινά σέ κάθε ψυχούλα πού ἀγαπᾶ τόν θαυματουργό Ἅγιο Ἰωάννη, πού ἦρθε κοντά του, πού τόν ἀγάπησε καί εὐεργετήθηκε ἀπό αὐτόν, πού ἔνοιωσε τήν προστασία καί τήν σκέπη του, τήν ἰαματική του χάρη καί τίς πρεσβεῖες του σέ κάθε δύσκολη στιγμή καί ἀνάγκη του, οἱ Ἱερές Ἀκολουθίες του νά ἐμπνεύσουν τήν ἀγάπη στόν Θεό καί στόν πλησίον πού καί ὁ Ἅγιος Ἰωάννης εἶχε καί ἔτσι ἀνεδείχθη στίς ἔσχατες ἡμέρες μας ἐκλεκτό δοχεῖο τῆς θείας χάριτος. **Ἅγιε Ἰωάννη πρέσβευε ἐν;ώπιον τοῦ θρόνου τοῦ Θεοῦ ὑπέρ ὅλου τοῦ κόσμου.**

† Η Ηγουμένη
Μόνικα Μοναχή
καί αἱ σύν ἐμοί ἐν Χριστῷ Ἀδελφαί

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

## ΙΩΑΝΝΟΥ

ΤΟΥΠΙΚΛΗΝ **ΜΑΞΙΜΟΒΙΤΣ**

ΕΠΙΣΚΟΠΟΥ ΣΑΓΓΑΗΣ ΚΑΙ ΣΑΝ ΦΡΑΝΣΙΣΚΟ

ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro



# ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, εἰς τὸ Κύριε Ἐκέκραξα, ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια·

**Ἦχος α´. Πανεύφημοι μάρτυρες.**

Κανὼν βιοτῆς ἀσκητικῆς,
τύπος ἀρχιποίμενος,
τῶν ἀποστόλων ἑπόμενος,
νοσούντων ἴαμα,
θεολόγων στέμμα,
διδασκάλων πρόβολος
καὶ πάντων ἰθυντὴρ ἀπλανέστατος
πρὸς ἀφθαρτότητα,
Ἰωάννη, ἀναδέδειξαι

www.tezaurliturgic.ro


ἐν ἐσχάτοις
τοῖς χρόνοις, μακάριε.

Ῥωσίας ἐκβλάστημα σεπτόν,
Ἰωάννη πάνσοφε,
ἡ χάρις σε ἐπεσκίασε
τοῦ θείου Πνεύματος,
ἐκ νεότητός σου,
χρόνων καὶ ἀνέδειξε
σοφίας τοῦ Παντάνακτος σύνοικον
καὶ ἐνδιαίτημα
ἀρετῆς, θεομακάριστε,
σὲ καὶ στῦλον
τῆς πίστεως ἄσειστον.

Ἑλλήνων χορείας λειτουργόν,
Ἰωάννην, μέλψωμεν
Μοναστηρίου γηθόμενοι
Σερβίας κράζοντες·
τὴν χειμαζομένην
ταύτην μειονότητα
ὁ λόγοις ἀναψύξας ἐνθέοις σου
πᾶσιν ἀνέδειξας
πρὸς ἐμπεριστάτους ἅπαντας
σὴν ἀγάπην,
σεπτέ, καὶ συμπάθειαν.

www.tezaurliturgic.ro



Ἀλώβητον χάριτι Θεοῦ
τὸ σὸν σκῆνος ἔμεινε
μετὰ σὸν θάνατον, ὅσιε,
τοῖς εὐσεβόφροσιν
ἅπασι δεικνύων,
Ἰωάννη πάνσοφε,
Χριστῷ ὅτι σαφῶς εὐηρέστησας,
λόγοις, καὶ πράξεσι,
φιλοθέῳ πολιτείᾳ σου,
ταπεινώσει,
εὐχῇ καὶ στερήσεσι.

**Δόξα. Ἦχος δ΄.**

Ἰσαγγέλως πολιτευσάμενος
οὐκ ἔδωκας νυσταγμὸν τοῖς βλεφάροις σου
καὶ ἀνάπαυσιν τοῖς κροτάφοις σου,
Ἰωάννη, ἱεράρχα χαριτώνυμε·
σὺ γὰρ ὡς ποιήσας καὶ διδάξας
τῶν μεγάλων τῆς Ἐκκλησίας πατέρων ἰσοστάσιος ὤφθης
ἐν τοῖς ἐσχάτοις, πάτερ, ἔτεσι·
καὶ νῦν σὺν ἀγγέλοις ἀγαλλιώμενος
μὴ παύσῃ τῷ εὐϊλάτῳ Κυρίῳ πρεσβεύων
ὑπὲρ τῶν τιμώντων τὴν ἀεισέβαστον μνήμην σου.

www.tezaurliturgic.ro



## Δόξα. Τριαδικόν.

Δόξα Σοι, ὁ Θεός,
Τριὰς ὑπεραγία,
ἡ ἐν ἐσχάτοις χρόνοις
τὸ σκῆνος Ἰωάννου
τοῦ θείου ἀφθαρτίσασα.

## Καί νῦν. Θεοτοκίον.

Χαῖρε, χριστιανῶν
ἑτοίμη προστασία
καὶ τῶν ἀπηλπισμένων
ἐλπίς, Θεογεννῆτορ,
Κυρία Μητροπάρθενε.

Νῦν ἀπολύεις...

Τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον
ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro



# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ϛ΄ καὶ ψάλλομεν τὰ ἑξῆς προσόμοια.

**Ἦχος δ΄. Ἔδωκας σημείωσιν.**

Ἰωάννη ὅσιε,
περιοικίδος ἐκβλάστημα
τοῦ Χαρκώβου θειότατον,
ὁ ἄνθη πανεύοσμα
ἐν ἐσχάτοις χρόνοις
ἐξανθήσας, μάκαρ,
μοναδικῆς διαγωγῆς

www.tezaurliturgic.ro


καὶ ταπεινώσεως, τὴν ὑφήλιον
σῇ ἀρετῇ καθήδυνας
καὶ τῇ πληθύϊ θαυμάτων σου,
ἰσαπόστολε πάνσοφε,
προσευχῆς ἐνδιαίτημα.

Ἰωάννη ὅσιε,
τὴν κλῆσιν ἔχων Μαξίμοβιτς,
ἱεράρχα θειότατε,
Χριστοῦ κατηγλάϊσας
θείαν Ἐκκλησίαν
σοῦ τῇ θεαρέστῳ
καὶ πολυτίμῳ προσφορᾷ
ἐν τοῖς ἐσχάτοις
τοῖς χρόνοις, ἔνθεε,
καὶ τὴν Σαγγάην πόνοις σου
καὶ Σὰν Φρανσίσκο ἡγίασας
πρὸς ὀρθὴν καθοδήγησιν
τῆς ἐλλόγου ἀγέλης σου.

Ἰωάννη ὅσιε,
πνευματοφόρε διδάσκαλε
Ὀρθοδόξου πληρώματος,
τοὐπίκλην Μαξίμοβιτς,
ὁ οὐκ ἔχων κλίνην
πρὸς ἀνάπαυσίν σου
καὶ πόλιν μένουσαν ἐν γῇ,
τὴν Βασιλείαν τὴν ἀδιάδοχον
σαφῶς ἐζήτεις πάντοτε

www.tezaurliturgic.ro



καὶ ἀγαλλίασιν ἄληκτον
σὺν Χριστῷ τῷ Παντάνακτι
ἐν τοῦ πόλου σκηνώμασιν.

Ἰωάννη ὅσιε,
σὸν ἀδιάφθορον σκήνωμα,
ὡς πηγή ἁγιάσματος
καὶ ῥεῖθρον ἰάσεως
ἁγιάζει πάντας
τοὺς αὐτῷ ἐν πίστει
ἀσπαζομένους, θαυμαστέ,
Κυρίου φίλε
καὶ τιμιώτατε
ἀρχιερεῦ, κραυγάζομεν,
ὁ ἐν ψυχῇ ταπεινόφρονι
ἀρετῆς κρύπτων ἄῤῥητον
ὕψος, πάτερ πανεύφημε.

Ἰωάννη ὅσιε,
Ἀμερικῆς θεῖον σέμνωμα,
Οὐκρανίας ἐκβλάστημα,
Σερβίας καλλώπισμα,
τῆς Σαγγάης κρίνον
καὶ τοῦ Σάν Φρανσίσκο
σημειοφόρε ἰατρέ,
τοὺς προσκυνοῦντας
τὸ θεῖον σκῆνός σου
δεινῶν παθῶν ἐκλύτρωσαι
καὶ πάσης βλάβης καὶ θλίψεων

www.tezaurliturgic.ro



τῇ δοθείσῃ σοι χάριτι
δαψιλῶς, πνευματέμφορε.

Ἰωάννη ὅσιε,
ὁ τῆς παιδείας ὑπέρμαχος,
ποιμασίας ἀρχέτυπον,
κανὼν ἀπαράβατος
βίου Ὀρθοδόξου
καὶ εἰκὼν ἀγάπης
καὶ προσφορᾶς πρὸς ἐνδεεῖς,
χειμαζομένους
καὶ χρείαν ἔχοντας,
Κυρίῳ εὐηρέστησας
τῇ θεαυγεῖ πολιτείᾳ σου
τῷ ἀξίως δοξάσαντι
σέ, πανεύφημε, θαύμασι.

**Δόξα. Ἦχος πλ. β΄.**

Ἀσκητικῆς σταθερότητος καὶ αὐστηρότητος ἀκτῖσι
διέλαμψας ἐν ἐσχάτοις τοῖς ἔτεσιν,
ἀπολύτου πνευματικῆς παραλύσεως,
ἱεράρχα Ἰωάννη, φωτόλαμπρε·
ἰσαγγέλως γὰρ πολιτευσάμενος
καὶ ἀποστόλων ἐπιδειξάμενος ζῆλον
ἀνὰ τὴν ὑφήλιον Ὀρθοδοξίαν ἐκήρυξας
καὶ ψυχάς ὡς δῶρον ἀτίμητον Χριστῷ προσήνεγκας·
καὶ νῦν ἁγίοις Ἀγγέλοις συγχορεύων ἐν πόλῳ δόξης

www.tezaurliturgic.ro



καὶ Χριστοῦ, τοῦ σὲ θαύμασιν ἀντιδοξάσαντος,
τὸ ἀμήχανον τοῦ προσώπου κάλλος θεώμενος
μὴ παύσῃ Αὐτῷ πρεσβεύων
ὑπὲρ τῶν τιμώντων τὴν ἀεισέβαστον μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον.**

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,....

**Εἴσοδος.** Φῶς ἱλαρόν.

Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.
(Κεφ. δ΄ 10-19)

Ἄκουε, υἱέ, καὶ δέξαι ἐμοὺς λόγους καὶ πληθυνθήσεται ἔτη ζωῆς σου, ἵνα σοι γένωνται πολλαὶ ὁδοὶ βίου· ὁδοὺς γὰρ σοφίας διδάσκω σε, ἐμβιβάζω δέ σε τροχιαῖς ὀρθαῖς. Ἐὰν γὰρ πορεύῃ, οὐ συγκλεισθήσεταί σου τὰ διαβήματα, ἐὰν δὲ τρέχῃς οὐ κοπιάσεις. Ἐπιλαβοῦ ἐμῆς παιδείας, μὴ ἀφῇς, ἀλλὰ φύλαξον αὐτήν σεαυτῷ εἰς ζωήν σου. Ὁδοὺς ἀσεβῶν μὴ ἐπέλθῃς, μηδὲ ζηλώσῃς ὁδοὺς παρανόμων· ἐν ᾧ ἂν τόπῳ στρατοπεδεύσωσι, μὴ ἐπέλθῃς ἐκεῖ, ἔκκλινον δὲ ἀπ᾽ αὐτῶν καὶ παράλλαξον. Οὐ γὰρ μὴ ὑπνώσωσιν, ἐὰν μὴ κακοποιήσωσιν, ἀφήρηται ὁ ὕπνος αὐτῶν καὶ οὐ κοιμῶνται· οἵδε γὰρ σιτοῦνται σῖτα ἀσεβείας, οἴνῳ δὲ παρανόμῳ μεθύσκονται. Αἱ δὲ ὁδοὶ τῶν δικαίων ὁμοίως φωτὶ

www.tezaurliturgic.ro



λάμπουσι, προπορεύονται καὶ φωτίζουσιν, ἕως κατορθώσῃ ἡ ἡμέρα· αἱ δὲ ὁδοὶ τῶν ἀσεβῶν σκοτειναί, οὐκ οἴδασι πῶς προσκόπτουσιν.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. α΄ 1- 10).

Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν· ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει ἄφρονας. Ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας· ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. Φιλάνθρωπον γὰρ πνεῦμα σοφίας καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ· ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεὸς καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς καὶ τῆς γλώσσης ἀκουστής· ὅτι πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς. Διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη. Ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ· ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.

www.tezaurliturgic.ro



## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
## (Κεφ. γ΄ 1- 9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾿ αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

**Ἰδιόμελα**
**Ἦχος α΄.**

Τὸν νεοπαγῆ τῆς Ὀρθοδοξίας στῦλον
καὶ φωτοβόλον νεολαμπῆ παντοίων ἀρετῶν ἀστέρα,
Ἰωάννην, ἀρχιερέων ὡς νέον ἐγκωμιάσωμεν σεμνολόγημα·

www.tezaurliturgic.ro


οὗτος γὰρ ἀόκνως ἐργαζόμενος,
ἀδιαλείπτως προσευχόμενος
καὶ νυχθημερὸν πιστοὺς ἐπιστηρίζων
ψυχῆς τὸ τριμερὲς ἐκάθηρε
καὶ μύστης θειότατος τῆς Τρισηλίου ὤφθη Θεότητος·
καὶ νῦν Αὐτῆς ἀπολαύων τῆς ἀϊδίου εὐκλείας
ἀσιγήτως πρεσβεύει ὑπὲρ εἰρήνης τοῦ κόσμου
καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

**Ἦχος β΄.**

Τὸν ὁδηγὸν τῶν πεπλανημένων,
ἰατρὸν τῶν ἀνιάτως ἀσθενούντων
καὶ διδάσκαλον τῶν τοῦ Θεοῦ ἐνταλμάτων,
Ἰωάννην, τοὐπίκλην Μαξίμοβιτς,
εὐφημήσωμεν κράζοντες·
ὁ περιπατῶν ἐπὶ τῆς γῆς ὡς ἄνθρωπος
καὶ περιπολεύων τοὺς οὐρανοὺς ὡς ἀσώματος,
ἱεράρχα θεόπνευστε,
Χριστὸν τὸν Θεὸν ἡμῶν ἱκέτευε
σῴζεσθαι τοὺς σὲ μακαρίζοντας.

**Ἦχος γ΄.**

Μαρμαρυγαῖς λελαμπρυσμένος
τοῦ Παρακλήτου Πνεύματος
ἐφώτισας Ἀμερικήν, Εὐρώπην καὶ Ἀσίαν,
διδάσκαλε Ὀρθοδοξίας φαεινότατε,
ἀποστόλων θεοσόφων ἑπόμενε
καὶ ἱεραρχῶν λαοφιλήτων, Ἰωάννη, ἐκτύπωμα·
ὅθεν τὴν πανσεβάσμιον μνήμην σου ἑορτάζοντες

www.tezaurliturgic.ro



καὶ τοὺς ἀόκνους ἀγῶνάς σου θαυμάζοντες
Χριστὸν δοξάζομεν,
τὸν παρέχοντα ἡμῖν εὐχαῖς σου
Αὐτοῦ τὸ μέγα καὶ πλούσιον ἔλεος.

**Ἦχος δ΄.**

Εὐσυμπάθητε Σαγγάης καὶ Σὰν Φρανσίσκο ἱεράρχα,
εἰκὼν διαυγεστάτη Χριστοῦ τοῦ Ἀρχιποίμενος,
διορατικοῦ χαρίσματος ὡς ἔμπλεως
ψυχῶν ἐγίγνωσκες τὰ ἐσώτερα
καὶ σοῖς λόγοις αὐτὰς ἀνέπαυες,
Ἰωάννη χαριτόβρυτε·
πρὸς τὸ φῶς ὅθεν τῆς ἀληθείας ἑλκύσας
διὰ τῶν σῶν διδαγμάτων
τοὺς ἐν σκιᾷ ἀγνωσίας κειμένους,
χάριν εἴληφας τῷ Φωτοδότῃ Κυρίῳ πρεσβεύειν
καὶ ἡμᾶς ἀξιῶσαι φωτὸς τοῦ ἀϊδίου ἀπολαῦσαι
τοὺς σὲ μακαρίζοντας.

**Δόξα. Ἦχος πλ. α΄.**

Δεῦτε, Ὀρθοδόξων οἱ δῆμοι,
τὸν ἐν ὁσίοις πατράσι θεοειδῆ ἱεράρχην
καὶ ἐν νεοφανέσιν ἀσκηταῖς ἱερώτατον σέμνωμα,
Ἰωάννην τὸν παναοίδιμον, εὐφημήσωμεν
ἐν κατανύξει βοῶντες·
ὁ θαυμαστωθεὶς κατ᾽ ἀξίαν θεόθεν
καὶ τιμηθεὶς ἀφθαρσίᾳ τοῦ τιμίου σου σκήνους,
ἀφθίτου ζωῆς κληρονόμους δεῖξον εὐχαῖς σου
τοὺς ἑορτάζοντας πόθῳ τὴν ἁγίαν μνήμην σου.

www.tezaurliturgic.ro



**Καὶ νῦν. Θεοτοκίον.**

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου...

Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.

**Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.**

Χαίροις, ὁ τῆς Ῥωσίας βλαστός,
περιοικίδος τοῦ Χαρκώβου λευκάνθεμον,
νεόφυτον εὐσεβείας
καὶ ἀγωγῆς ἀκραιφνοῦς
ἴον μυροβόλον,
χαριτώνυμε,
Σαγγάης κιννάμωμον,
Σὰν Φρανσίσκο μυρίπνοον
ῥόδον καὶ πάσης
οἰκουμένης ἀλάβαστρον
εὐωδέστατον,
Ἰωάννη Μαξίμοβιτς·
ἕλκων γὰρ χάριν ἄφθονον
ὑψόθεν τοῦ Πνεύματος
τοῦ Παναγίου ἐδείχθης
πηγὴ θαυμάτων ἀείρρυτος
καὶ χείμαρρος ἄρτι
ἰαμάτων, ἱεράρχα
πνευματοφόρητε.

www.tezaurliturgic.ro



**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος
τοῦ Ὁσίου Αὐτοῦ.

Χαίροις, τῶν ὀρφανῶν ὁ πατήρ,
ἐμπεριστάτων ἡ ἑτοίμη ἀντίληψις,
ἀνάψυξις τεθλιμμένων,
τροφὴ πενήτων πολλῶν,
ἰατὴρ νοσούντων,
ἀνακούφισις
χηρῶν, περικράτησις
γήρως, πάτερ ἀοίδιμε,
φυλακισμένων
ἡ γλυκεῖα ἐπίσκεψις
καὶ τό στήριγμα
ἀδυνάτων, θειότατε,
ἀρχιερέων καύχημα
τῶν νέων τῆς πίστεως,
θεοειδὲς Ἰωάννη,
πηγὴ χαρᾶς τῶν τιμώντων σε
καὶ φρέαρ θαυμάτων
ἀκεσώδυνον τῶν ὕμνοις
μακαριζόντων σε.

**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Μνήμην τὴν ἱερὰν καὶ σεπτὴν
τῆς σῆς κοιμήσεως λαμπρῶς ἑορτάζοντες,
σεβάσμιε Ἰωάννη,
ἱεραρχῶν καλλονὴ

www.tezaurliturgic.ro



καὶ Ὀρθοδοξίας
νέον σέμνωμα,
σεπτὰ κατορθώματα
ἀγωγῆς τῆς ἀρίστης σου
ὑμνολογοῦμεν
καὶ δοξάζομεν Κύριον
τὸν τιμήσαντα
ἀφθαρσίᾳ λειψάνου σου
σὲ καὶ θαυμάτων δείξαντα
παντοίων ἀκένωτον
πηγὴν ἐν χρόνοις ἐσχάτοις,
ἡσυχαστὰ ἱερώτατε,
ἀπόστολε νέε
καὶ διδάσκαλε Κυρίου
λαμπρὲ τῆς πίστεως.

**Δόξα.** Ἦχος πλ. δ΄.

Ἀρεταῖς κεκοσμημένος θείαις
καὶ διδασκαλίᾳ ὀρθῇ καὶ θαύμασιν ὡραϊσμένος
οὐρανοπολίτης ἐγένου, Ἰωάννη μακάριε·
ὅθεν πάντες οἱ τοὺς ἀποστολικοὺς ἀγῶνάς σου σέβοντες
καὶ τὴν σὴν μνήμην λαμπρῶς πανηγυρίζοντες
τὰς θεοπειθεῖς σου εὐχὰς ἐκζητοῦμεν
πρὸς ἀρετῆς καὶ σοφίας ἐνθέου ἀπόκτησιν
καὶ βίον κρείττονα.

www.tezaurliturgic.ro



**Καὶ νῦν. Θεοτοκίον.**

Δέσποινα, πρόσδεξαι...

Νῦν ἀπολύεις...
τὸ Τρισάγιον καὶ τὸ **Ἀπολυτίκιον.**

**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Ἰωάννη Μαξίμοβιτς, ἀγγελόμορφε,
ἱεραρχῶν θεοφόρων
καὶ διδασκάλων σοφῶν
ἐκλαμψάντων ἄρτι σάπφειρε πολύτιμε,
ὡς Ὀρθοδόξων ἀσκητῶν
καλλονὴν καὶ ποταμὸν
ἀστείρευτον θαυμασίων
σὲ ἀνυμνοῦντες εὐχάς σου
θερμὰς πρὸς Κύριον αἰτούμεθα.

Θεοτοκίον.

Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

Ἀπόλυσις.

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro



# ΕΝ Τῼ ΟΡΘΡῼ

Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον,
ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ,
μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.

**Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.**

Στρουθίον ἱερόν,
ἀηδὼν γλυκυτάτη
καὶ ὄρνις τῷ Χριστῷ
ἐπιῤῥίπτουσα πάσας
μερίμνας φιλέρημος,
Ἰωάννη μακάριε,
τὴν εὐσέβειαν
περιερχόμενος πᾶσαν

www.tezaurliturgic.ro



τὴν ὑφήλιον,
καὶ σωστικὴν ἐκελάδεις
τῷ κόσμῳ ἀλήθειαν.

**Δόξα.** Τὸ αὐτό. **Καὶ νῦν.** Θεοτοκίον.

Ἀγγέλων γλυκασμέ,
χαρμονὴ θλιβομένων,
πιστῶν καταφυγή,
ἀρωγὴ τρυχομένων
καὶ πάντων τιμώντων σε
ἡ ἑτοίμη βοήθεια
πέλεις, Δέσποινα,
Θεογεννῆτορ γλυκεῖα·
ὅθεν ἅπαντες
ἐν συμφοραῖς ταῖς τοῦ βίου
τῇ σκέπῃ σου σπεύδομεν.

Μετὰ τὴν β΄ Στιχολογίαν Κάθισμα.
**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Λαμπρὸν ἐνδιαίτημα
χαρίτων τῶν τοῦ Θεοῦ,
σοφίας ἐκτύπωμα
καὶ ἀρετῆς φρυκτωρέ,
λαοὺς κατεφώτισας
φέγγει νουθεσιῶν σου
καὶ αὐγαῖς διδαγμάτων

www.tezaurliturgic.ro



θείων σου, Ἰωάννη,
συμπαθὲς ἀρχιθύτα,
καὶ ζόφον ἀγνωσίας ταχὺ
πάντων ἐσκέδασας.

**Δόξα.** Τὸ αὐτό. **Καὶ νῦν.** Θεοτοκίον.

Σεμνὴ ἀειπάρθενε,
τῶν θλιβομένων χαρά,
θερμὸν καταφύγιον
τῶν τρυχομένων δεινῶς,
πανύμνητε Δέσποινα,
καὶ ποδηγὲ σῶν δούλων
πρὸς νομὰς σωτηρίας,
κάθαρον τὰς ἐννοίας
καὶ διόρθωσον τάχος
ἀτάκτους λογισμοὺς τῶν πιστῶς
καταφευγόντων σοι.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα.

**Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Τὸν ἀξιέραστον ἱεροφάντορα,
τὸν κατατήκοντα παννύχοις στάσεσι
αὐτοῦ τὴν σάρκα τὴν φθαρτὴν καὶ στῦλον τῆς Ἐκκλησίας
ἐποφθέντα μέλψωμεν ὡς σεπτὸν ὑφηγήτορα
καὶ σεμνὸν διδάσκαλον Ὀρθοδόξου πληρώματος
ἐν ἄκρᾳ εὐλαβείᾳ βοῶντες· Χαῖρε, τρισμάκαρ Ἰωάννη.

www.tezaurliturgic.ro



**Δόξα.** Τὸ αὐτό. **Καὶ νῦν.** Θεοτοκίον.

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

**Εὐαγγέλιον κατὰ Ἰωάννην (κεφ. ι΄ 9- 16).**
Ζήτει τῇ μνήμῃ τοῦ Ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου.

Ὁ Ν΄ Ψαλμός.
**Δόξα.** Ταῖς τοῦ Ἱεράρχου πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,...

Ἰδιόμελον. **Ἦχος πλ. β΄.**

**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα
ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν
Σου ἐξάλειψον τό ἀνόμημά μου.

Ὡς σεπτὸς θεολόγος καὶ μύστης τῆς χάριτος,
μεγίστην ὠφέλειαν τοῦ πληρώματος λογιζόμενος
τὴν διὰ τὴν ἀγήρω μακαριότητα αὐτοῦ προετοιμασίαν,

Ἰωάννην, τὸν θεόσοφον ἱεράρχην καὶ ἱεραπόστολον ἐγκωμίων καταστέψωμεν ᾄσμασιν ἐκθύμως βοῶντες· φιλέρημον τῆς ὑδρογείου σφαίρας στρουθίον ὁ ἐν Ἀμερικῇ, Εὐρώπῃ καὶ Ἀσίᾳ καλιὰς πήξας ἀγώνων, Χριστοῦ, τοῦ εὐϊλάτου Κυρίου, μὴ παύσῃ δεόμενος ὑπὲρ τῶν τιμώντων τὴν λαμπρὰν καὶ πανσεβάσμιον μνήμην σου.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...

Εἶτα ὁ Κανὼν τοῦ Ἱεράρχου, οὗ ἡ Ἀκροστιχίς·
**“Ἰωάννου, νέου ὁσίου ἱεράρχου, αἶνος. Χ. Μ. Μ.”**

**Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.**

Ἰσχύν μοι κατάπεμψον
ἐξ ὕψους δόξης ἀῤῥήτου Σου,
Χριστὲ ἀγαθόδωρε,
ὅπως ὑμνήσω λαμπρῶς
τὰ παλαίσματα
τοῦ θείου Ἰωάννου,
τοῦ ἄρτι φωτίσαντος
κόσμου τὰ πέρατα.

Ὡς στῦλον τῆς πίστεως
νεοπαγῆ σε γεραίροντες,
σεπτὲ χαριτώνυμε,
ἱεραρχῶν καλλονὴ

www.tezaurliturgic.ro



καὶ ὡράϊσμα
ἐνθέων διδασκάλων
τὴν πάνσεπτον μνήμην σου
ᾄσμασι στέφομεν.

Ἀγγέλων ὁμόσκηνε,
Χαρκόβου γόνε πανεύφημε,
Χριστὸν ἐκ νεότητος
ἐπιπόθησας θερμῶς
ἠκολούθησας
ταῖς τρίβοις, Ἰωάννη,
πατέρων τῆς πίστεως
ὅλῃ ἐφέσει σου.

Θεοτοκίον.

Νικήτορας, Δέσποινα,
τοὺς σοὺς οἰκέτας ἀνάδειξον
κατὰ τοῦ ἀλάστορος
τοὺς σὲ ὑμνοῦντας λαμπρῶς
καὶ τὰ σκάμματα
τοῦ θείου Ἰωάννου
ᾠδαῖς μεγαλύνοντας,
Θεογεννήτρια.

**Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.**

Νεκρώσας τὰ πάθη τῆς σαρκός σου
συντόνῳ ἀσκήσει καὶ εὐχῇ

www.tezaurliturgic.ro



ἀδιαλείπτῳ ἔτεινας
τὸν νοῦν σου πρὸς σκηνώματα
τῶν οὐρανῶν ὑπέρφωτα,
ἀρχιερεῦ χαριτώνυμε.

Ὁ τρίβοις σαφῶς ἀκολουθήσας
λαῶν, Ἰωάννη, φωτισμοῦ
ὡς νέος ἰσαπόστολος
διέδραμες τὰ πέρατα
κηρύττων τὴν Ὀρθόδοξον
πίστιν τοῖς πᾶσι, θειότατε.

Ὑμνοῦντες τοὺς πόνους, Ἰωάννη
Μαξίμοβιτς, ἄρτι, σοὺς σεπτούς,
οὓς ἔτλης πρὸς διάδοσιν
τῆς Ὀρθοδόξου πίστεως
καὶ σωτηρίαν ποίμνης σου
τῆς λογικῆς σε γεραίρομεν.

Θεοτοκίον.

Ναέ τοῦ Θεοῦ ἡγιασμένε
καὶ θρόνε χρυσότευκτε Αὐτοῦ,
Κυρία Μητροπάρθενε,
ναοὺς ἡμᾶς χρηστότητος
καὶ θρόνους ἁγιότητος
τοὺς πρόσφυγάς σου ἀνάδειξον.

www.tezaurliturgic.ro



## Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Ταπεινώσεως καὶ ἀκακίας,
ἐγρηγόρσεως καὶ ἡσυχίας,
προσευχῆς ἀδιαλείπτου καὶ νήψεως
τὸν πολυτίμητον σμάραγδον μέλψωμεν
τρανῶς βοῶντες· ποιμὴν ἱερώτατε
θείας πίστεως, Χριστῷ, Ἰωάννη, πρέσβευε
ὑπὲρ τῶν μελῳδούντων σὰ παλαίσματα.

**Δόξα.** Τὸ αὐτό. **Καὶ νῦν.** Θεοτοκίον.

Ἀπειρόγαμε Παρθενομῆτορ,
ἀφθαρτότητος πρὸς τὰς ἐπάλξεις
τοὺς ὑμνοῦντάς σε ἐκθύμως ἀνάγαγε
ψαλμοῖς καὶ ὕμνοις εὐτάκτοις καὶ ᾄσμασιν
καὶ τὸν σὸν Τόκον δοξάζοντας πάντοτε,
ἡ τὰ δώματα λαμπρύνουσα τὰ οὐράνια
διὰ τῆς φωτολάμπρου παρουσίας σου.

## Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Ἐνθεώτατε ἀλεῖπτα
Ὀρθοδόξου νεότητος,
διδασκάλων γέρας
φιλαρέτων καὶ ἰσαπόστολε
νεολαμπές, Ἰωάννη χαριτόβρυτε,
ζόφον ἔλυσας
τῆς ἀγνωσίας σοῖς φθέγμασιν.

www.tezaurliturgic.ro



Ὁδηγὲ τῶν ἐν σκοτίᾳ
καθευδόντων ἀνύστακτε
πρὸς τὸ θεῖον φέγγος
τῆς Ὀρθοδοξίας, κατεύθυνον
τοὺς ἐκτελοῦντας τὴν μνήμην τὴν ἁγίαν σου,
χαριτώνυμε,
πρὸς ἀφθαρσίας σκηνώματα.

Ὑπερόπτα τῶν προσύλων,
Ἰωάννη μακάριε,
καὶ τῶν ἐν τῷ πόλῳ
ζηλωτὰ ἀύλων, διέδραμες
τῆς βιοτῆς τῆς προσκαίρου σου τὸν δόλιχον
καὶ κατήντησας
εἰς παμφαῆ πόλου δώματα.

Θεοτοκίον.

Οὐρανίου Βασιλείας
κληρονόμους ἀνάδειξον,
Κεχαριτωμένη,
τοὺς οἰκέτας σῆς θείας χάριτος,
τοὺς μεγαλύνοντας πόθῳ θαυμασίων σου
πλῆθος, Δέσποινα,
εὐλογημένη Μητρόθεε.

www.tezaurliturgic.ro



## Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Σαγγάη σεμνύνεται
καὶ Σὰν Φρανσίσκο γάνυται
σοῦ τῇ φιλοθέῳ ποιμασίᾳ
καὶ προστασίᾳ
καὶ ταχινῇ ἀρωγῇ,
σεπτὲ Ἰωάννη, ποταμὲ
χάριτος ἀείῤῥυτε
καὶ θαυμάτων ἀστείρευτε.

Ἰάσεων ἄσυλον
θησαύρισμα τὸ σκῆνός σου
ὤφθη, ἀρχιθῦτα θεοφόρε,
ὃ μετὰ πότμον
ἐν ἀφθαρσίᾳ τηρεῖ
Χριστός, ὁ δοξάζων τοῖς Αὐτοῦ
φίλοις πλείστοις θαύμασιν,
Ἰωάννη Μαξίμοβιτς.

Οὐράνιε ἄνθρωπε
καὶ ἄγγελε ἐπίγειε,
ὁ διδάξας ἄρτι ἔθνη πάντα
καὶ ἀνατείλας
Ὀρθοδοξίας τὸ φῶς
ἠπείρων τριῶν ἐν τοῖς λαοῖς,
Ἰωάννη, ἔλυσας
ἀγνωσίας σκοτόμαιναν.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Ὑμνοῦμεν ἀείποτε
πληθὺν τῶν θαυμασίων σου,
Κεχαριτωμένη Θεοτόκε,
καὶ τὸν Υἱόν σου
δοξολογοῦμεν πιστῶς,
θεράποντα δείξαντα Αὐτοῦ
ἄρτι ἱερώτατον
Ἰωάννην Μαξίμοβιτς.

**Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.**

Ὑθύντωρ ὤφθης ἀνύστακτος
ἐλλόγου, Ἰωάννη, ἀγέλης σου
καὶ ἀπλανέστατος
χειραγωγὸς πρὸς τὴν ἄληκτον
ζωὴν τῶν ἐκζητούντων
τὰς νουθεσίας σου.

Εὐλόγει πάντας, ἁγίαζε
καὶ φρούρει καὶ περίσκεπτε, ὅσιε,
τοὺς προσκυνοῦντάς σου
τὸν ἀδιάφθορον σκήνωμα,
τρισμάκαρ Ἰωάννη,
χαρίτων τέμενος.

www.tezaurliturgic.ro



Ῥανίσι θείων ἱδρώτων σου
καὶ ῥείθροις, Ἰωάννη, δακρύων σου
ψυχῆς ἐλεύκανας
τῆς ἱερᾶς σου ἱμάτιον,
ἣν καθαρὰν ὡς δῶρον
Χριστῷ προσήγαγες.

Θεοτοκίον.

Ἐκ πάσης ῥῦσαι, στενώσεως
καὶ πάσης δυσθυμίας τοὺς δούλους σου,
Θεογεννήτρια,
χαριτωνύμου τὰ σκάμματα
τιμῶντας Ἰωάννου,
ποιμένος ἔμφρονος.

**Κοντάκιον.**

**Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Τὸν ταπεινόν, ἁπλοῦν, φιλόθεον, φιλάρετον,
σεμνόν, μακρόθυμον, πραῢν καὶ εὐσυμπάθητον
εὐφημήσωμεν Ὀρθόδοξον ἱεράρχην,
Ἰωάννην τὸν Μαξίμοβιτς, μελίσμασιν
ὡς θαυμάτων φρέαρ ὄντως ἀκεσώδυνον
πόθῳ κράζοντες· Χαίροις, χάριτος σκήνωμα.

www.tezaurliturgic.ro



## Ὁ Οἶκος.

Ἄριστε ἱεράρχα,
Ἰωάννη, ὁσίως
ἐβίωσας, ὡς Ἄγγελος ἄλλος,
καὶ σεπτῶν Ἀποστόλων ὁδούς
διοδεύσας ἄρτι ἐν σκιᾷ, ἔνδοξε,
καθεύδοντας ἐφώτισας
καὶ ἔπιθες λαοὺς βοᾶν σοι·

Χαῖρε, σεπτὸς τοῦ Χαρκώβου γόνος·
χαῖρε, στεῤῥὸς Ἐκκλησίας στῦλος.

Χαῖρε, ταπεινώσεως ὄλβος πολύτιμος·
χαῖρε, ἐγρηγόρσεως λύχνος ἀκοίμητος.

Χαῖρε, ἔνθεε διδάσκαλε τῆς νεότητος ἐθνῶν·
χαῖρε, πάνσοφε ἀπόστολε καὶ διάσωσμα ψυχῶν.

Χαῖρε, ὅτι χαρίτων πλείστων βρύσις ἐδείχθης·
χαῖρε, ὅτι θαυμάτων ξένων κρήνη ἐπώφθης.

Χαῖρε, εὐχῆς καὶ νήψεως σκήνωμα·
χαῖρε, ψυχῆς ἡμῶν ἀγαλλίαμα.

Χαῖρε, φανὸς νεαυγὴς ἀπαθείας·
χαῖρε, πυρσὸς τηλαυγὴς εὐσεβείας·

**Χαίροις, χάριτος σκήνωμα.**

www.tezaurliturgic.ro



Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς Β΄ Ἰουλίου. Εἶτα λέγομεν·

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου καί θεοφόρου πατρὸς ἡμῶν Ἰωάννου, τοὐπίκλην Μαξίμοβιτς, ἐπισκόπου Σαγγάης καὶ Σὰν Φρανσίσκο, τοῦ θαυματουργοῦ.

**Στίχοι.**

Θεὸς ἐτίμησε ἀφθαρσίᾳ σκήνους,
σὲ τὸν ὅσιον, Ἰωάννη, ποιμένα.

**Συναξάριον.**

Ὁ ὅσιος καὶ θεοφόρος πατὴρ ἡμῶν Ἰωάννης ἐγεννήθη ἐν ἔτει σωτηρίῳ 1896 ἐν τῇ περιοικίδι τοῦ Χαρκώβου τῆς Οὐκρανίας λαβὼν ἐν τῷ ἁγίῳ βαπτίσματι τὴν κλῆσιν Μιχαήλ. Θείῳ ἔρωτι τρωθεὶς παιδιόθεν ἐσχόλαζε τῇ μελέτῃ τοῦ βίου τῶν ἁγίων τῆς Ὀρθόδοξου ἡμῶν πίστεως. Ὁ ἀσθενικὸς τῇ φύσει ἀλλὰ ἰσχυρὸς τῇ πίστει Μιχαὴλ ηὔξανε τῇ ἀρετῇ καὶ σοφίᾳ καὶ πᾶσι κατεδείκνυ ὅτι "χάρις Θεοῦ ἦν ἐπ᾽ αὐτῷ". Μετοικήσας πανοικεὶ ἐν τῇ λαϊκῇ τῆς Ῥωσίας ἐπαναστάσει εἰς Βελιγράδιον ἐσπούδασεν ἐν τῷ ἐκεῖσε Πανεπιστημίῳ λαβὼν ἐν ἔτει 1925 τὸ πτυχίον τοῦ Θεολόγου. Καρεὶς εἶτα μοναχὸς καὶ χειροτονηθεὶς διάκονος ἐν τῇ μονῇ τοῦ Μίλκοβ ἔλαβε τὴν μοναχικὴν κλῆσιν Ἰωάννης καὶ ἐν ἔτει 1926 ἐχειροτονήθη ἱερομόναχος. Εὐθὺς διωρίσθη καθηγητὴς καὶ μεταξὺ τῶν ἐτῶν 1927 ἕως 1934 ἐδί-

www.tezaurliturgic.ro



δαξεν ἐν τῇ ἱερατικῇ Σχολῇ τῆς πόλεως τοῦ Μοναστηρίου (Βιτώλης) εἰς τοὺς ναοὺς τῆς ὁποίας ἐτέλει τὸ μυστήριον τῆς θείας εὐχαριστίας ἐν τῇ ἑλληνικῇ γλώσσῃ πρὸς χάριν τῶν ἐκεῖ διαβιούντων Ἑλλήνων. Ἐν ἔτει 1934 προεχειρίσθη εἰς Ἐπίσκοπον Σαγγάης καὶ ἤρξατο τὴν ἱεραποστολικὴν αὐτοῦ δρᾶσιν εἰς Ἀσίαν συνδυάζων ἡσυχασμόν, ἀκραιφνῆ ἀσκητικὴν ἀγωγήν, ποιμασίαν θεάρεστον καὶ φιλανθρωπίαν μοναδικήν. Μετὰ τὴν μετοικεσίαν τοῦ αὐτοῦ ποιμνίου ἕνεκα τῆς ἀλλαγῆς τοῦ πολιτικοῦ εἰς Κίναν σκηνικοῦ εἰς Ἀμερικὴν ὁ θαυμαστὸς Ἰωάννης ἐτοποθετήθη εἰς Εὐρώπην καὶ δὴ εἰς Παρισίους διακονῆσαι τοῖς Ῥώσοις τῆς διασπορᾶς. Ἐν ἔτει 1962 κατεστάθη εἰς Σὰν Φρανσίσκο τῆς Ἀμερικῆς πρὸς εἰρήνευσιν τῆς ἐκεῖ διχασθείσης Ὀρθοδόξου Ῥωσικῆς παροικίας. Ὁ εἰρηνοποιὸς ὅσιος καὶ ταπεινὸς ἐπίσκοπος Ἰωάννης τὰ τελευταῖα ἔτη τῆς ἰσαγγέλου ἐπὶ γῆς πολιτείας αὐτοῦ ἔπιε τὸ ποτήριον τῆς συκοφαντίας, ἵνα ὡς δεδιωγμένος ἕνεκεν δικαιοσύνης καταντήσῃ εἰς σκηνώματα θείας δόξης. Ἐκοιμήθη τὸν ὕπνον τῶν δικαίων τῇ 2ᾳ Ἰουλίου τοῦ ἔτους 1966 καὶ ἐτάφη ἐν τῷ ὑπογείῳ τοῦ Καθεδρικοῦ Ναοῦ τοῦ Σὰν Φρανσίσκο πηγὴ δειχθεὶς παντοίων ἰαμάτων. Ἐν τῇ ἀνακομιδῇ τὸ ἱερὸν αὐτοῦ σκῆνος εὑρέθη ἄφθαρτον καὶ εὐωδιάζον καταδεικνῦον τοῖς πᾶσι τὴν δόξαν, ἧς ἔτυχεν ὁ ὅσιος αὐτὸς ἱεράρχης ἐν τῇ ἀλήκτῳ μακαριότητι.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

www.tezaurliturgic.ro



## Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Ῥῶσιν ἄνωθεν
λαβὼν καὶ σθένος, ὅσιε,
πανιερώτατε
ἱεροφάντορ, λαοὺς
ἐθνῶν ἄρτι ἴσχυσας
ἀνῦσαι δίοδον
τῆς θεώσεως,
δυνάμει παραδείγματος
τοῦ σεπτοῦ σου, Ἰωάννη.

Χαῖρε, πάνσοφε
ποιμήν τε καὶ διδάσκαλε,
τρανῶς κραυγάζοντες
σὰς ὁλοθέρμους εὐχὰς
πρὸς Κτίστην αἰτούμεθα
τὸν πολυέλεον,
Οὗ τὸ πρόσωπον
ὁρᾷς νῦν τοῖς βλεφάροις σου
τοῖς ἰδίοις, Ἰωάννη.

Ὁσιώτατε
ἐπίσκοπε, οὐκ ἔκλινας
σάρκα βροτείαν σου
εἰς κλίνην, ἐγκρατευτὰ
σεμνέ, τεσσαράκοντα
ἔτη καὶ ὄμμασι
σοῖς οὐκ ἔδωκας,

θεόφρον χαριτώνυμε,
νυσταγμόν, σημειοφόρε.

Θεοτοκίον.

Ὑπερένδοξε,
Κυρία Μητροπάρθενε,
Θεογεννήτρια,
τοῦ Ἰωάννου λιταῖς,
σοὺς δούλους ἀπάλλαξον
δεινῶν καὶ θλίψεων
καὶ στενώσεων
καὶ συμφορῶν, Παντάνασσα,
ἱλαστήριον τοῦ κόσμου.

**Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.**

Ἄμεμπτε τοῖς λόγοις καὶ τοῖς ἔργοις,
ἐδίδαξας, ἐνουθέτησας ἐκήρυξας
καὶ λαοὺς ἐφώτισας
θείῳ παραδείγματι
σοῦ βίου, παναοίδιμε·
διὸ καὶ χάριτος
πολλῆς κατηξιώθης θεόθεν,
Ἰωάννη μακάρ,
σημειοφόρε πάτερ.

Ἴθυνας τὰ διαβήματά σου
σαφῶς, πάτερ, ἐκ τῶν χρόνων σῆς νεότητος

www.tezaurliturgic.ro



ἐντολῶν πρὸς τήρησιν
σωτηρίων, ἅγιε·
διὸ καὶ χάριν εὗρηκας
ἰθῦναι βήματα
προσφύγων σου πρὸς θείας ἐπάλξεις,
Ἰωάννη σῶφρον,
ἀρχιερέων κῦδος.

Νεῦσον σῶν προσφύγων ἱκεσίαις
σαρκὸς καταπαύων τὰ ὁρμήματα
καὶ τὸν νοῦν πρὸς εὔσπλαγχνον
ἀνατείνων Κύριον,
τὸν πάντας διασῴζοντα
πιστούς, σεβάσμιε,
ἐνθέων ζηλωτὰ ἀποστόλων
καὶ θεοκηρύκων
λαμπρότης, Ἰωάννη.

Θεοτοκίον.

Ὄμβρισον ἡμῖν, Θεοκυῆτορ,
ἀφθόνως τὸν ὑετὸν σῆς θείας χάριτος,
καταρδεῦσαι δούλων σου
τὰς ψυχὰς πρὸς ἄφθονον
καρποφορίαν, Δέσποινα,
θερμῶς βοῶμέν σοι,
πανύμνητε Κυρία Παρθένε,
σωτηρίας κόσμου
νεφέλη ὀμβροτόκε.

www.tezaurliturgic.ro



## Ὠδὴ θ΄. Ἅπας γηγενής.

Ἐὲ ὡς νεαυγῆ
ἀστέρα τῆς χάριτος
Θεοῦ τιμῶμέν σε,
Ἰωάννη πάντιμε,
ψαλμοῖς καὶ ὕμνοις
φαιδροῖς ἑκάστοτε
καὶ μέλποντες σεμνότητα
καὶ καθαρότητα
τοῦ σοῦ βίου
κράζομεν· Μαξίμοβιτς,
τῶν παθῶν ἡμῶν βόρβορον ἔκπλυνον.

Χαῖρε, ἀσκητὰ
ἐπίσκοπε, σύμπαντα
ποιμαντορίᾳ σου
ὁ φωτίσας ἔτεσιν
ἐν τοῖς ἐσχάτοις,
θεοφορούμενε,
βοῶντες δυσωποῦμέν σε·
ἴσθι ἀνύστακτος
παραστάτης
ἐν τοῦ βίου θλίψεσιν,
Ἰωάννη, τῶν νῦν προσφευγόντων σοι.

Μέμνησο ἡμῶν
θερμῶς δεομένων σου,
σοφίας σκήνωμα,

www.tezaurliturgic.ro



Ἰωάννη ὅσιε,
καὶ σοὺς ἀσόφους
ἱκέτας σόφισον
τῇ δαψιλῶς δοθείσῃ σοι
θεόθεν χάριτι,
ἵνα μνήμην
ἐκτελῶμεν πάντοτε
τὴν σεπτήν σου τερπνοῖς μελῳδήμασι.

Θεοτοκίον.

Μῆτερ τοῦ Θεοῦ,
ἁγνὴ ἀειπάρθενε,
πιστοὺς περίσκεπε,
φρούρει καὶ διάσῳζε
ἀπὸ κινδύνων
καὶ περιστάσεων,
θερμῶς παρακαλοῦμέν σε,
οἱ μεγαλύνοντες
θαυμασίων
πλῆθός σου τὸ ἄμετρον
καὶ Υἱὸν δοξαζόντων τὸν θεῖόν σου.

Ἐξαποστειλάριον. **Γυναῖκες ἀκουτίσθητε.**

Διδάσκαλον θειότατον,
σεμνὸν ἱεροφάντορα,
τῆς νεολαίας ἀλείπτην

www.tezaurliturgic.ro



πρὸς Ὀρθοδόξους λειμῶνας
καὶ ἀσκητὴν πανόσιον
ἐκθύμως μακαρίσωμεν
νῦν, Ἰωάννην ἔνθεον,
ὡς θείας χάριτος κρήνην
καὶ ποταμὸν ἰαμάτων.

Θεοτοκίον.

Καρδίαν τὴν αὐχμῶσάν μου
ἁμαρτιῶν τοῖς πλήθεσι
τῇ αὔρᾳ τῆς χάριτός σου
καὶ ἀῤῥαγοῦς προστασίας
ἀνάψυξον, Μητρόθεε,
ἡγιασμένη Δέσποινα,
καὶ δρόσῳ σῶν δεήσεων
Υἱὸν πρὸς μονογενῆ σου
αὐτὴν διάψυξον τάχος.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄
καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

Σαγγάης καὶ Σὰν Φρανσίσκο
τὸν ἀρχιποίμενα,
τῶν ἱεραποστόλων
Ὀρθοδόξων τὸ κλέος

www.tezaurliturgic.ro



καὶ στῦλον εὐσεβείας νεοπαγῆ
καταστέψωμεν ᾄσμασι,
θαυματουργὸν ἱεράρχην ὡς ἀληθῶς,
Ἰωάννην τὸν Μαξίμοβιτς.

Τῆς ἡσυχίας φωστῆρα,
φανὸν συνέσεως
καὶ ταπεινοφροσύνης
τηλαυγέστατον φάρον
διδάσκαλον ὡς θεῖον καὶ ποδηγὸν
Ὀρθοδόξου νεότητος
ὕμνοις θεόσδοτον μέλψωμεν μελιχροῖς,
Ἰωάννην χαριτόβρυτον.

Θεοειδὲς Ἰωάννη,
σκῆνος ἠφθάρτισε
σὸν θεῖον μετὰ πότμον
ὁ Χριστὸς καὶ θαυμάτων
ἀνέδειξε παντοίων αὐτὸ ποταμόν,
Ἰωάννη Μαξίμοβιτς,
βλύζοντα πᾶσιν ἰάματα δαψιλῶς
καὶ κρουνοὺς ἀφθόνως χάριτος.

Ὡς ἀσκητὴς ἐν τῷ κόσμῳ
πολιτευσάμενος
καὶ λογικῶν προβάτων
τὴν ἀγέλην στηρίξας
τῇ ῥάβδῳ σῶν πανσόφων νουθεσιῶν,

www.tezaurliturgic.ro



Ἰωάννη, τῷ Κτίσαντι
Χριστῷ ἀπῆλθες, θεόφρον ἀρχιερεῦ,
ὑπαντῆσαι, χαριτώνυμε.

**Δόξα. Ἦχος πλ. α΄.**

Δεῦτε, φιλεόρτων χορεῖαι, τὴν μνήμην
σήμερον πανηγυρίσωμεν
τοῦ χαριτοβρύτου ἱεράρχου Ἰωάννου,
τοῦ ἀσκήσει καὶ ποιμασίᾳ καθαγιάσαντος
Ἀμερικῆς, Εὐρώπης καὶ Ἀσίας τὴν χθόνα·
οὗτος γὰρ σοφῶς τὸν λαὸν τοῦ Θεοῦ ποδηγετήσας
χάριν εἴληφεν οὐρανόθεν εὐλογεῖν ἀοράτως τοὺς αὐτὸν τιμῶντας
καὶ χαρᾶς πληροῦν τὰς καρδίας
τῶν βοώντων ἀπαύστως·
Κύριε, δόξα Σοι.

**Καὶ νῦν. Θεοτοκίον.**

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...

**Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.**

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

# ΕΝ ΤΗ͂ ΛΕΙΤΟΥΡΓΙᾼ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἱεράρχου ἡ γ´ καὶ ἡ στ´ ᾠδή.

**Ἀπόστολος καὶ Εὐαγγέλιον** τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου. (Ζήτει τῇ ΙΓ´ Νοεμβρίου)

**Κοινωνικόν.** Εἰς μνημόσυνον αἰώνιον.

**Μεγαλυνάριον.**

Χαίροις, ἱεράρχα νεοφανές,
μάκαρ Ἰωάννη,
ταπεινώσεως κορυφή,
χαίροις, ὁ ἀνύσας
οὐρανοδρόμον ἄρτι
πορείαν καὶ θαυμάτων
κρήνη γενόμενος.

**Δίστιχον.**

Μόνικαν σκέπε καὶ αὐτῆς συνοδίαν,
Ἰωάννη μάκαρ, βοᾷ Χαραλάμπης.

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ

## ΙΩΑΝΝΗΝ

ΤΟΥΠΙΚΛΗΝ **ΜΑΞΙΜΟΒΙΤΣ**

ΕΠΙΣΚΟΠΟΝ ΣΑΓΓΑΗΣ ΚΑΙ

ΣΑΝ ΦΡΑΝΣΙΣΚΟ

ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro



Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον, μεθ᾽ ὃ τὸ Θεός Κύριος, ὡς συνήθως, καὶ τὸ ἑξῆς·

**Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Τὸν ἐξ ἀντλήματος αὐτοῦ τῆς καρδίας
πᾶσιν ἐκβλύζοντα κρουνοὺς ἀειζώους
χαρίτων εὐφημήσωμεν ἐκθύμως πιστοί,
ἱεράρχην ὅσιον, θεαυγῆ Ἰωάννην,
τὸν ἀκολουθήσαντα ἀποστόλων ταῖς τρίβοις
ἐν τοῖς ἐσχάτοις χρόνοις καὶ ψυχὰς
διψώσας ἄρτι τὸν Κτίστην ποτίσαντα.

**Δόξα.** Τὸ αὐτό. **Καὶ νῦν.** Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι.
Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων;

www.tezaurliturgic.ro



Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Εἶτα ὁ Ν΄ Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ ἀκροστιχίς·
**"Ἰωάννη, χαρᾶς πλῆσον θείας σὸν ἱκέτην. Χ."**

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.**

Ἱλέωσαι Κύριον καὶ Θεὸν
ἡμῖν, Ἰωάννη,
τοῖς τιμῶσί σε εὐλαβῶς
ὡς νέον φωστῆρα Ἐκκλησίας
καὶ ἀποστόλων τῶν θείων ὁμόζηλον.

Ὡραΐσμα νέον ἱεραρχῶν,
σοφὲ Ἰωάννη,
καθωράϊσον ἀρεταῖς
εὐχαῖς σου θερμαῖς ἡμῶν καρδίας
τῶν ἀνυμνούντων τὴν πάνσεπτον μνήμην σου.

Ἀξίωσον δόξης τῶν οὐρανῶν
ἡμᾶς, Ἰωάννη,
τοὺς προστρέχοντας ἀκλινῶς
σῇ χάριτι, ἣν, δεδοξασμένε,
ἀφθόνως εὗρες, ὡς σκεῦος τοῦ Πνεύματος.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Νικήτορας δεῖξον κατὰ παθῶν
ἡμᾶς χαμαιζήλων
μεγαλύνοντας ἐν χορῷ
εἰς πάντας σε, Μῆτερ, τοὺς αἰῶνας,
Θεογεννῆτορ ἁγνή, ἀειπάρθενε.

**Ὠδή γ΄. Οὐρανίας ἁψῖδος.**

Νῦν λαμπρῶς, Ἰωάννη,
νεοφανὲς πίστεως
ἄστρον ἐκ Ῥωσίας ἐκλάμψαν
σὲ μεγαλύνοντες
βοῶμεν· ἐκδυσωπῶν
μὴ διαλίπῃς φωτίσαι
Ἰησοῦν νεότητα
φέγγει τοῦ Πνεύματος.

Ἡλιόφωτον σέλας
τῆς τοῦ Χριστοῦ πίστεως,
τῆς Ὀρθοδοξίας φῶς μέγα
πᾶσιν, ἁπλώσαντα
ἐν ἀγνωσίας σκιᾷ
κειμένοις, σκέδασον τάχος,
Ἰωάννη, ζόφωσιν
τῶν προστρεχόντων σοι.

www.tezaurliturgic.ro



Χαριτώνυμε πάτερ,
ἱεραρχῶν καύχημα,
Ἰωάννη, βράβευε πᾶσι
σὲ μεγαλύνουσιν
ἰσχὺν συντρίψαι ἐχθροῦ
τοῦ μισοκάλου ἐνέδρας,
ὁ αὐτοῦ τὴν δύναμιν
θραύσας ἀγῶσί σου.

Θεοτοκίον.

Ἀπαθείας με δεῖξον,
Μῆτερ Θεοῦ, νήψεως
καὶ εὐχῆς ἀόκνου πυξίον
τὸν ἀνυμνοῦντά σε
ὡς ὑπερόπτιν παθῶν
καὶ ἐγρηγόρσεως λύχνον,
πάναγνε Παντάνασσα,
κόσμου διάσωσμα.

Χαρίτωσον
τοὺς σοὺς ἱκέτας πρεσβείαις σου διαθέρμοις,
χαριτώνυμε, πρὸς Θεόν, τὸν πᾶσι παρέχοντα
ἀφθόνως τὰ πρόσφορα, Ἰωάννη.

Ἐπίβλεψον
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,

www.tezaurliturgic.ro



ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Αἴτησις καὶ τὸ Κάθισμα.**

**Ἦχος β΄. Πρεσβεία θερμή.**

Σοφίας Θεοῦ τὸν σύνοικον τιμήσωμεν
σεπτῶν ἀρετῶν ὡς ὄλβον πολυτίμητον,
Ἰωάννην ὅσιον,
κεκλημένον ἐν βίῳ Μαξίμοβιτς,
καὶ τὰς αὐτοῦ πρεσβείας πρὸς Θεὸν
πιστῶς τὰς ἐνθέρμους ἐκζητήσωμεν.

**Ὠδὴ δ΄. Εἰσακήκοα, Κύριε.**

Ῥαθυμίαν ἐκδίωξον,
Ἰωάννη μάκαρ, τῶν εὐφημούντων σε
ὡς λαμπάδα ἐγρηγόρσεως
καὶ διπλῆς ἀγάπης λύχνον πάμφωτον.

Ἀνυμνοῦντες τοὺς πόνους σου
πρὸς τῶν ὀρθοδόξων ἀρχῶν διάδοσιν,
Ἰωάννη, δυσωποῦμέν σε·
στήριξον ἡμᾶς ὀρθῷ φρονήματι.

Σκοτομήνην ἀπέλασον
τῶν παθῶν ἱκέτας σου κατατρύχουσαν,

www.tezaurliturgic.ro



Ἰωάννη θεοτίμητε,
νεαυγὲς φωστὴρ Χριστοῦ τῆς πίστεως.

Θεοτοκίον.

Παναμώμητε Δέσποινα,
βεβορβορωμένην ψυχὴν τοῦ δούλου σου
νάμασί σου ἀποκάθαρον
πρεσβειῶν πρὸς Τόκον σου τὸν πάνσεπτον.

Ὠδή ε΄. **Φώτισον ἡμᾶς.**

Λάμπρυνον στολὴν
τῆς ψυχῆς μου ἱκεσίαις σου,
Ἰωάννη, πρὸς τὸν μόνον τὰς ψυχὰς
διασῴζειν τῶν προσφύγων σου δυνάμενον.

Ἤσχυνας ἐχθρὸν
βροτοκτόνον τῇ ἀμέμπτῳ σου,
Ἰωάννη, ἐπὶ γῆς διαγωγῇ,
πρεσβευτὰ ἡμῶν θερμότατε πρὸς Κύριον.

Στῦλος ἀῤῥαγὴς
πεφηνὼς ὀρθοῦ φρονήματος,
Ἰωάννη, κλονουμένων τὰς ψυχὰς
ἱκετῶν στηρίζεις χάριτος τῆς θείας σου.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Ὄμβρισον ἡμῖν
ὑετὸν τῆς προστασίας σου,
Θεοτόκε, δροσοβόλοις προσευχαῖς
Ἰωάννου, ἱεράρχου τοῦ οἰκτίρμονος.

**Ὠδὴ στ΄. Τὴν δέησιν.**

Ναμάτων σε ἀειῤῥύτων χείμαῤῥον,
Ἰωάννη, σωστικῆς ἀπαθείας
γιγνώσκοντές σε πιστῶν αἱ χορεῖαι
ἀποζητοῦμεν πιεῖν ὕδωρ χάριτος
τῆς σῆς πλουσίας οἱ κακῶς
ἐν τοῖς πάθεσι κατατρυχόμενοι.

Θεόσοφε ἱεράρχα, σπεύδοντες,
Ἰωάννη, σαῖς ἐνθέρμοις πρεσβείαις
ἀναβοῶμεν· σοφίας ἐνθέου
ἡμᾶς ἀσόφους ἀνάδειξον τάχιστα,
ὁ ἐποφθεὶς τοῦ πανσθενοῦς
Παρακλήτου ταμεῖον ἀσύλητον.

Ἐπίβλεψον, Ἰωάννη ὅσιε,
ἐφ᾽ ἡμᾶς τοὺς ἀνυμνοῦντας σὴν μνήμην
καὶ πέμψον πᾶσιν ἐξ ὕψους σῆς δόξης
ἡμῖν ἀφθόνως ἐν βίῳ τὰ πρόσφορα,
ὁ διαλάμψας ὡς ἀστὴρ
ἀγαθῶν τῶν ἐνύλων στερήσεως.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Ἰάτρευσον τῆς ψυχῆς μου τραύματα
καὶ οὐλὰς τοῦ σώματός μου, Παρθένε,
φαρμάκῳ σῆς ἀκλινοῦς προστασίας
καὶ ἀρωγῆς, Μῆτερ Θεογεννήτρια,
τὸν μόνον πάντων ἰατρόν,
Ἰησοῦν, ἡ ἀφράστως κυήσασα.

Χαρίτωσον
τοὺς σοὺς ἱκέτας πρεσβείαις σου διαθέρμοις,
χαριτώνυμε, πρὸς Θεόν, τὸν πᾶσι παρέχοντα
ἀφθόνως τὰ πρόσφορα, Ἰωάννη.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως
ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.
Ἦχος β΄. **Τοῖς τῶν αἱμάτων σου.**

Τὸν ταπεινόν, ἀγαθὸν καὶ ἡσύχιον
νῦν εὐλαβῆ ἱεράρχην τιμήσωμεν
ὡς ἀπλανῆ τῶν πιστῶν κατευθύντορα
πρὸς οὐρανούς, Ἰωάννην Μαξίμοβιτς,
ἡμῶν ἐν δεινοῖς ἀντιλήπτορα.

www.tezaurliturgic.ro



**Προκείμενον.**
Τὸ στόμα μου λαλήσει σοφίαν
καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

**Στίχος.** Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.

**Εὐαγγέλιον κατὰ Ἰωάννην (Κεφ. ι΄ 9-16).**
Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα· δι᾿ ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται...

*Ὅρα εἰς τὴν Λειτουργίαν τῆς ΙΓ΄ Νοεμβρίου.*

**Δόξα.**
Ταῖς τοῦ Ἱεράρχου πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Καί νῦν.**
Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Προσόμοιον.**
**Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**

**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἰωάννη ὅσιε,
νεολαμπὲς ἀρχιθῦτα

www.tezaurliturgic.ro



Ὀρθοδόξου πίστεως,
τῆς Ῥωσίας βλάστημα
ἱερώτατον
καὶ τερπνὸν λείριον
καθαρᾶς καρδίας
καὶ ἀγάπης πρὸς τὸν Κύριον,
Οὗ ὡμολόγησας
κλῆσιν πάσης κτίσεως πέρασι,
Μαξίμοβιτς θειότατε,
ῥύου ἐμπηρείας τοῦ ὄφεως
σὲ τοὺς ἀνυμνοῦντας
ὡς ἄφθονον θαυμάτων ποταμὸν
καὶ ἰαμάτων ἀκένωτον
κρήνην, θεοστήρικτε.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Ἀρχιθῦτα θεόφρον,
θαυμαστὲ Ἰωάννη,
ὁ τὴν σκοτόμαιναν
ἀγέλης σοι λαχούσης
σκεδάσας διδαγμάτων
ἀστραπαῖς σου, διάλυσον
καὶ πάντων σῶν ὑμνητῶν
ἀνομημάτων ζόφον.

www.tezaurliturgic.ro



Στηριγμὸς ἀδυνάτων
καὶ καμνόντων ἀκέστωρ
ὑπάρχων τάχιστος
ἀεὶ ἐπιστηρίζων
μὴ παύσῃ τοὺς τιμῶντας
τὴν σεπτὴν πολιτείαν σου,
καὶ φρόνημα τὸ ὀρθόν,
ὃ ἐπεδείκνυς πᾶσι.

Σὲ ἀγώνων ἐνθέων
μαχητὴν τροπαιοῦχον,
ἱεροφάντορα
σεμνὸν καὶ ποιμενάρχην
ἀνύστακτον ἐν ὕμνοις
καταστέφομεν πάντοτε
καὶ σὰς ἐνθέρμους λιτὰς
ζητοῦμεν, Ἰωάννη.

Θεοτοκίον.

Οὐ παυόμεθα, Μῆτερ,
καθ᾽ ἑκάστην ὑμνοῦντες
τὰ μεγαλεῖά σου
καὶ σπεύδοντες ἐν δίναις
τῇ σῇ ἐπιστασίᾳ,
Θεοτόκε πανύμνητε,
καταφυγὴ εὐσεβῶν
καὶ θεία προστασία.

www.tezaurliturgic.ro



## Ὠδή η΄. Τόν Βασιλέα.

Νῦν ὡς θαυμάτων,
θεοειδὲς Ἰωάννη,
ἀνυμνοῦντες ταμεῖον βοῶμεν·
ἀλγηδόνας παῦσον
σὲ ἐπικαλουμένων.

Ἴσθι ἀκέστωρ
καὶ ἀρωγός, Ἰωάννη,
ταχινὸς τῶν ζητούντων σὴν χάριν,
ζηλωτὰ ἁγίων
Κυρίου ἀποστόλων.

Κλίμακα θείαν
τῶν ἀρετῶν, Ἰωάννη,
ἀνελθὼν σῆς σαρκὸς ταπεινώσει,
ἀρεταῖς με πλῆσον
εὐχαῖς σου ἀσιγήτοις.

Θεοτοκίον.

Ἐπάκουσόν μου
καὶ δαψιλῶς τὴν σὴν χάριν
πέμψον πᾶσι σοῖς δούλοις, Παρθένε,
μακαρίζουσί σε,
Κυρία Θεοτόκε.

www.tezaurliturgic.ro



## Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Τῶν Ὀρθοδόξων δῆμοι
νῦν ἀξιοχρέως
ἀνευφημοῦντες σὴν πάνσεπτον κοίμησιν
σὰς ἱκεσίας πρὸς Κτίστην ἀπεκδεχόμεθα.

Ἡμέραν σωτηρίας
ἐξανάτειλόν μοι
σέ, Ἰωάννη, τῷ νῦν μακαρίζοντι
ὡς φωτοπάροχον σέλας Χριστοῦ τῆς πίστεως.

Νικήτορας ἐν μάχαις
δεῖξον, Ἰωάννη,
κατὰ τοῦ πλάνου τοὺς ὕμνοις τιμῶντάς σε
ὡς νικηφόρως ἀγῶνα τὸν σὸν τελέσαντα.

Θεοτοκίον.

Χαρᾶς ἡμῶν καρδίας
πλῆσον, Θεοτόκε,
τῶν εὐλαβῶς Ἰωάννου τὰ σκάμματα
ὑμνολογούντων καὶ πόθῳ μακαριζόντων σε.

**Ἄξιον ἐστί...**
**καὶ τὰ παρόντα Μεγαλυνάρια.**

Χαίροις, ἱεράρχα νεοφανές,
μάκαρ Ἰωάννη,

www.tezaurliturgic.ro



ταπεινώσεως κορυφή,
χαίροις, ὁ ἀνύσας
οὐρανοδρόμον ἄρτι
πορείαν καὶ θαυμάτων
κρήνη γενόμενος.

Τὸν βλαστὸν Ῥωσίας τὸν ἱερόν,
τὸν ἐν τῇ Ἀσίᾳ,
Ἰωάννην, Ἀμερικῇ
καὶ Εὐρώπῃ ἄρτι,
Ὀρθοδοξίας κρίνα
ἀνθήσαντα εὐσχήμως
ἀνευφημήσωμεν.

Ἔχων παῤῥησίαν πρὸς τὸν Θεόν,
Ὧπερ ὁλοψύχως
διηκόνησας καὶ καλῶς
ἄρνας Οὗ πρὸς πόλον
ὡδήγησας, δυσώπει
Αὐτόν μοι, Ἰωάννη,
πέμψαι ὑγίειαν.

Χαίροις, τῶν Ἑλλήνων τῶν εὐλαβῶς
ἐν Μοναστηρίῳ
κατοικούντων ὁ λειτουργός,
χαίροις, Ἰωάννη,

www.tezaurliturgic.ro



ἐν δυσχειμέροις χρόνοις
αὐτῶν παρηγορία
καὶ θεῖον στήριγμα.

Χαίροις, κοσμιότης ἱεραρχῶν,
ἱεραποστόλων
νέον εὖχος καὶ θησαυρός
δωρημάτων θείων,
τρισμάκαρ Ἰωάννη,
ἀφθόνως ὁ ἑλκύσας
χάριν τοῦ Πνεύματος.

Φρούρει, χαριτώνυμε, τοὺς πιστῶς
μέλποντας σὴν μνήμην,
Ἰωάννη θεοειδές,
τῆς Ῥωσίας γόνε,
Μαξίμοβιτς θεόφρον,
καὶ σπεύδοντας λιταῖς σου
πρὸς τὸν Θεάνθρωπον.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες,
μετὰ τῆς Θεοτόκου
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

www.tezaurliturgic.ro



Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Ἰωάννη Μαξίμοβιτς, ἀγγελόμορφε,
ἱεραρχῶν θεοφόρων
καὶ διδασκάλων σοφῶν
ἐκλαμψάντων ἄρτι σάπφειρε πολύτιμε,
ὡς Ὀρθοδόξων ἀσκητῶν
καλλονὴν καὶ ποταμὸν
ἀστείρευτον θαυμασίων
σὲ ἀνυμνοῦντες εὐχάς σου
θερμὰς πρὸς Κύριον αἰτούμεθα.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ᾽ ἣν ψάλλομεν τὸ ἑξῆς·

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.**

Πάντας, Ἰωάννη, εὐλαβῶς
σὲ ὑμνοῦντας φρούρει καὶ σκέπε
καὶ ῥύου βίου δεινῶν,
ἱεράρχα ὅσιε,
χαρίτων μέλαθρον,
ἀποστόλων ὁμόζηλε
καὶ τῆς εὐσεβείας
κῆρυξ διαπρύσιε,

www.tezaurliturgic.ro



ἐκδυσωποῦμέν σε
καὶ ἀξίου πόλου βραβείων
τοὺς ὀρθοφρονοῦντας ἱκέτας
χάριτός σου, ἄνερ χαριτώνυμε.

Δέσποινα, πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**Δίστιχον.**

Χάριτος πλῆσον Μόνικαν, Ἰωάννη,
σὺν δήμῳ εὐσεβῶν βοᾷ Χαραλάμπης.

**ΤΕΛΟΣ
ΚΑΙ ΔΟΞΑ
ΤΩ ΜΟΝΩ ΑΛΗΘΙΝΩ
ΘΕΩ ΗΜΩΝ.**

www.tezaurliturgic.ro

# ΧΑΙΡΕΤΙΣΤΗΡΙΟΙ ΟΙΚΟΙ
# ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ ΙΩΑΝΝΗΝ
# ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ ΕΠΙΣΚΟΠΟΝ
# ΣΑΓΓΑΗΣ ΚΑΙ ΣΑΝ ΦΡΑΝΣΙΣΚΟ

**ποίημα Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης**

«Σοφίας χάριν ὁ λαβὼν θεόθεν Ἰωάννη,
σόφισον τὴν καρδίαν μου
τὰ θαυμαστά σου ᾄδειν».

Ἀπολυτίκιον.
Ἦχος πλ. δ΄. Τὸ προσταχθέν.

Τῶν στυλιτῶν ἐν τοῖς ἴχνεσι βαδίσας, καὶ ἀσκητῶν τοὺς θείους ἄθλους κατορθώσας, καὶ σαλότητος τρόπους γράψας Ἰωάννη· ἐγένου θείας σοφίας μυσταγωγός, καὶ στάθμη ὑπερκοσμίου διαγωγῆς· προσευχῆς τε διδάσκαλος, καὶ συμπαθείας κρατήρ, πρὸς ὃν πιστοὶ φθεγγόμεθα· Χαίροις Ῥώσσων ἐπίσκοπε.

www.tezaurliturgic.ro

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Ἱεραρχίας τιμηθεὶς τῷ ἀξιώματι, καὶ ἀληθείας πορευθεὶς τοῖς δικαιώμασι, ταῦτα ἔργοις σου ὑπέγραψας Ἰωάννη. Διοράσεως τῷ κάλλει λαμπρυνόμενος, καὶ θαυμάτων δωρεαῖς διακρινόμενος· σοὶ οὖν μέλπομεν· Χαίροις Ῥώσσων ἐπίσκοπε.

Οἱ Οἶκοι.

Ἅμιλλαν ἐν τῷ βίῳ τὴν ἀρίστην ἀσκήσας, εἰς μέτρα οὐρανίων Ἀγγέλων ἐπέφθασας σεπτὲ Ἰωάννη (γ') τοὺς ἄθλους τῶν Ὁσίων ἀσκητῶν ἠρετισάμενος καὶ στέρξας στυλιτῶν τῶν πάλαι τὰς ἀριστείας, σαλότητος ἐνθέου δὲ προσγράψας τὰς ἀναβάσεις. Οὕτω Θεόν, σοφίας τὴν πηγήν, κατηύφρανας καὶ παρ' ἡμῶν ἀκούεις νῦν ἐν εὐφροσύνῃ τάδε·

Χαίροις τοῦ κόσμου ἡ δαδουχία·
χαίροις τῶν Ῥώσσων ἡ εὐκληρία.

Χαίροις τῶν Ἀρχιερέων καινοτάτη κορωνίς·
χαίροις ἀσκητῶν τῶν πάλαι ἰσοστάθμιος κρηπίς.

Χαίροις ὁ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ περιπατήσας·
χαίροις ὁ σαλῶν χορείαν ἐν λαμπρότητι κοσμήσας.

Χαίροις τῆς Ῥωσσίας πύργε ἄσειστε ἐν πειρασμοῖς·
χαίροις οἰκουμένης λύχνε ἄσβεστε ἐν ἱλασμοῖς.

Χαίροις στυλιτῶν ἁγίων ὁ ζηλώσας πολιτείαν·
χαίροις ὁ Θεῷ προσάγων τῶν Ἀγγέλων ὑμνῳδίαν.

Χαίροις τῆς ἀγαθωσύνης ὁ ὑπέρτατος κανών·
χαίροις ἀρετῶν παντοίων ὁ πανεύοσμος λειμών.

***Χαίροις Ῥώσσων ἐπίσκοπε.***

www.tezaurliturgic.ro

Βήματι ἐν ἁγίῳ παραστὰς Ἰωάννη, ὡς θεῖος καὶ σοφὸς Ἀρχιθύτης, τῶν δώρων τῶν μεγάλων μετέσχες· καὶ σύναιμος Κυρίου τοῦ Θεοῦ γενόμενος, λατρείας λογικῆς ἀμέμπτως ὡς προεξάρχων, καρδίας καθαρότητι ἑκάστοτε ἐλειτούργεις. Τὴν ἀπαρχὴν τοῦ φίλτρου σου Ἀρχιερεῖ προσέφερες τῷ Μεγάλῳ, ἀγάπης σου δεικνύων τὴν ἀκρότητα καὶ ὕμνον καθαρὸν Χριστῷ τῷ σὲ φιλοῦντι ᾄδων·

***Ἀλληλούϊα.***

Γλώσσῃ τῇ ταπεινῇ σου καὶ δυσήχῳ φωνῇ σου ἐδόξαζες Θεὸν Ἰωάννη τὰ θεῖα τοῖς πιστοῖς ἐκδιδάσκων· Μωϋσῆς δὲ ὥσπερ πάλαι ὁ βραδύγλωσσος, Θεὸν ἰδεῖν κατηξιώθη ἐν τῷ Σιναίῳ, παρ' οὗ τοῦ νόμου πλάκας ἐν χερσὶν ἐδέξατο, οὕτω καὶ σὺ Αὐτὸν ἑώρας ἀενάως τὸν ποθούμενον, ἐν θεωρίας μυστικῆς προσαναβὰς τῷ ὄρει καὶ χάριτος προσείληφας ἀντιδόσεις. Ὅθεν σε μακαρίζοντες, ἐν ᾄσμασιν βοῶμεν σοι χαριτοπλόκοις ταῦτα·

Χαίροις ἡ κέδρος τῆς Ἐκκλησίας·
χαίροις ἡ βάσις ζωῆς ἁγίας.

Χαίροις ταπεινοφροσύνης πανσεβάσμιος εἰκών·
χαίροις θεοῤῥημοσύνης φανοτάτη λαμπηδών.

Χαίροις θείας ἐγκρατείας στάθμη ἡ ἀκριβεστάτη·
χαίροις τῆς ἀκτημοσύνης ἔνδειξις ἡ πληρεστάτη.

Χαίροις ὁ Θεῷ συνάξας Ῥώσσους τῆς διασπορᾶς·
χαίροις ὁ διασκορπίσας τῶν δαιμόνων τὰς βουλάς.

Χαίροις τῆς χρηστοεργίας ὁ ἀκάματος ἐργάτης·
χαίροις τῶν ἐν ἀπορίᾳ ἀγαθώνυμος προστάτης.

Χαίροις θείαν ἀγρυπνίαν ὁ ἀσκήσας ἐν σπουδῇ·
χαίροις ἀκριβῆ νηστείαν ἀγαπήσας ἐκ ψυχῆς.

***Χαίροις Ῥώσσων ἐπίσκοπε.***

Δείξας τὴν πρὸς Θεόν σου τὸν Δεσπότην οἰκείαν καὶ ἀνόθευτον στοργὴν Ἰωάννη, ὑπήκουσας Αὐτοῦ τῇ προστάξει· ὡς Πέτρος δὲ τὸ πρότερον, φίλτρου ἁγνοῦ εἰς πίστωσιν τὴν λογικὴν ἐποίμανε ἐκλογάδα, οὕτω καὶ σύ, Χριστῷ ἀκολουθῶν τῷ σὲ καλέσαντι, τὰ πρόβατα Αὐτοῦ ἐποίμανας ἐν συνέσει, διδάξας πιστοῖς λόγοις καὶ ἔργοις σου ποιεῖν τὰ πρέποντα, Θεῷ δὲ τῷ ἁγίῳ ψάλλειν·

***Ἀλληλούϊα.***

Εἰρηναίᾳ καταστάσει χριστομόρφου σου ψυχῆς, προσωμίλεις Ἰωάννη ἀκωλύτως ἐν παντί, τῷ Θεῷ τῷ εἰρηνάρχῃ, οὗ ἠγάπας τὰς βουλάς. Καὶ Αὐτοῦ πιστὸς ὡς φίλος καὶ ἐργάτης ἀγαθός, ἔπραττες ἐν ἐπιγνώσει τὰς ἁγίας ἐντολάς, προσδοκῶν τῆς αἰωνίου χαρμονῆς τὴν ἀμοιβήν. Καὶ ἡμεῖς οἱ σοὶ ἱκέται ἐν χαρᾷ πνευματικῇ, ᾄδομέν σοι ὁμοφώνως ταῦτα ὅλης ἐκ ψυχῆς·

Χαίροις ὁ λύχνος τῆς εὐσεβείας·
χαίροις ὁ μύστης Θεοῦ σοφίας.

Χαίροις νόμου προσταγμάτων ὁ πιστὸς ἐκπληρωτής·
χαίροις θείου Διδασκάλου ἐν τῇ πράξει μαθητής.

Χαίροις θεοδρόμου βίου ὁ χαράξας τὰς πορείας·
χαίροις τοὺς πιστοὺς ἰθύνας εἰς λιμένας σωτηρίας.

Χαίροις Ῥώσσοις ἑρμηνεύσας τὰς ἁγίας ἐντολάς·
χαίροις νοῦς ὁ διαγνώσας τοῦ Κυρίου τὰς βουλάς·

www.tezaurliturgic.ro

Χαίροις ὁ τροφὴν κατ' ἄμφω δεομένοις ἐπαρκέσας·
χαίροις ὁ τρυφὴν ἁγίαν σὺν Ἀγγέλοις ὁ κορέσας.

Χαίροις ἐν μεσονυκτίῳ ἄρτον δοὺς θνητῇ σαρκί σου·
χαίροις ἐν εὐχαριστίᾳ ὁ λαλῶν τῷ Ποιητῇ σου.

***Χαίροις Ῥώσσων ἐπίσκοπε.***

Ζοφεροῖς καιροῖς καὶ χρόνοις ἐν ἐσχάτοις καὶ στυγνοῖς, ὤφθης θεῖε Ἰωάννη ὡς ἀστὴρ ἑωθινὸς ἐν τῇ ἀχανεῖ Ῥωσσίᾳ καὶ ὡς δρόσος Ἀερμών, διαλύσας τὴν πικρίαν τῶν ἀθέων δυναστῶν καὶ καινίσας τὰς καρδίας ἐν πληρότητι φωτός, πάντων τῶν ἐν εὐσεβείᾳ προσελθόντων σοι πιστῶν. Καὶ ἡμεῖς νῦν ἐπαινοῦντες ἔργα σου τὰ φωτεινά, πίστεως ἐν διαθέσει σὲ τιμῶμεν εὐλαβῶς καὶ Θεῷ τῷ φωτοδότῃ ψάλλωμεν καινοπρεπῶς·

***Ἀλληλούϊα.***

Ἠκολούθεις τῷ Κυρίῳ εὐπειθείᾳ σῆς ψυχῆς, ἄρας τὸν Σταυρὸν ἐπ' ὤμων Ἰωάννη ἐκ παιδός, ἀποστὰς τῶν φρονημάτων τῶν ματαίων νουνεχῶς. Ὅλον δὲ σαυτὸν ἠρνήσω, ὡς κελεύει ὁ Χριστός, τὴν καρδίαν σου ποιήσας ἱερεῖον λογικόν, ἐν ᾗ τούτῳ ἐλειτούργεις ἐν αἰνέσεως φωνῇ. Καὶ ἡμεῖς ἐν θείας δόξης ἀθροισθέντες τῷ Ναῷ, ψάλλομέν σοι ἐκ καρδίας ταῦτα σοι θεοπρεπῶς·

Χαίροις τῆς κτίσεως εὐωδία·
χαίροις Κυρίου ἡ μαρτυρία.

Χαίροις καινοπρεπεστάτης χάριτος μυσταγωγέ·
χαίροις τῆς ἐπουρανίου λειτουργίας κοινωνέ.

www.tezaurliturgic.ro

Χαίροις ὁ διακονήσας ἐν πιστότητι Κυρίῳ·
χαίροις ὁ προσκαρτερήσας Τούτου ἐν Ναῷ Ἁγίου.

Χαίροις ὁ τοῦ ἀμπελῶνος τῆς Ῥωσσίας σκαπανεύς·
χαίροις τοῦ Εὐαγγελίου ὁ ἀκάματος σπορεύς.

Χαίροις τῆς χρηστοηθείας τὸ ὑπέρτιμον δοχεῖον·
χαίροις τῆς θεογνωσίας τὸ πληρέστατον ταμεῖον.

Χαίροις καθαρᾶς ἀγάπης ἡ ἀθόλωτος πηγή·
χαίροις τῆς καλῆς ἐλπίδος ἡ ἀνέσπερος αὐγή.

***Χαίροις Ῥώσσων ἐπίσκοπε.***

Θαυμαστοῖς σε μεγαλείοις ἀντεδόξασε Χριστός, Ὃν ἠγάπας Ἰωάννη ἐν ἁγνότητι ψυχῆς καὶ ἀδόλῳ σου καρδία διηκόνεις ἐκτενῶς, ἔργοις δὲ χρηστοῖς ἐτίμας νόμον ἅγιον Αὐτοῦ. Ὅθεν δόξης αἰωνίου στέφος ἔλαβες λαμπρὸν καὶ ἀγάλλει σὺν Δικαίοις ἐν σκηναῖς θείου φωτός, τῷ Θεῷ τῷ στεφοδότῃ ᾄδων ὕμνον τὸν καινὸν καὶ σὺν στρατιαῖς Ἀγγέλων τὴν χερουβικὴν ᾠδήν·

***Ἀλληλούϊα.***

Ἱκανῶς πρὸς παρατάξεις ἀντετάξω τοῦ ἐχθροῦ, ἀγρυπνίαις καὶ νηστείαις τούτων γένος σκοτεινὸν πολεμήσας Ἰωάννη ὡς κελεύει ὁ Χριστὸς καὶ νικήσας κατὰ κράτος τῶν ἐπάρσεων σειράς. Σέβοντες μετ' εὐλαβείας τοὺς ἀγῶνας τοὺς μακρούς, οὓς διήνυσας ἐν βίῳ διὰ πίστιν τὴν ὀρθήν, ἐν φωναῖς χαριστηρίοις καὶ ᾠδαῖς ὑψοποιαῖς λέγομέν σοι ὁμοφώνως ταῦτα δόξης ἐν φωνῇ·

Χαίροις διάδοχε Ἀποστόλων·
χαίροις ὁμότροπε Διδασκάλων.

Χαίροις τοῦ χοροῦ Δικαίων ἡ περίδοξος λαμπρότης·
χαίροις τῶν Ἀρχιερέων ἡ σεβάσμιος ἀκρότης.

Χαίροις ὁ βαδίσας τρίβον τὴν στενὴν διὰ Χριστόν·
χαίροις ὁ οἰκῶν ἐν δόξῃ Παραδείσου πλατυσμόν.

Χαίροις φρόνημα γεῶδες τῆς σαρκὸς ὁ ἐκνικήσας·
χαίροις ἄσκησιν ἁγίας βιοτῆς ὁ ἀγαπήσας.

Χαίροις πλάνης ὁ ξηράνας θείοις ἔργοις σου βυθόν·
χαίροις λόγοις σου διδάξας ἀληθείας τὴν ὁδόν.

Χαίροις οἶκος τῆς Τριάδος τῆς Ἁγίας ὁ σεπτός·
χαίροις σκήνωμα τῆς δόξης ἐν καινότητι φωτός.

***Χαίροις Ῥώσσων ἐπίσκοπε.***

Κλίμακα τῶν θεοσδότων καὶ ἁγίων ἐντολῶν, μετὰ ζήλου Ἰωάννη ἀναβέβηκας καλοῦ, φθάσας εἰς τὸ ἄκρον ταύτης, εἰς σκηνὰς τοῦ οὐρανοῦ καὶ Θεῷ σου προσωμίλεις ἀκροτάτῳ ἐφετῶν, οἰκειότητος μετέχων ὡς υἱὸς ἀγαπητός. Τῇ οἰκείᾳ διαλέκτῳ ὁμιλοῦντες καὶ ἡμεῖς, ὡς ὁμόγνωμοι τῇ πίστει, ὡς ἐχόμενοι ἐλπίδος, ὡς ἀγάπης κοινωνοί, καὶ κοινοὶ ὡς στρατιῶται παρατάξεως Χριστοῦ, ψάλλομεν ὁμοῦ συμφώνως νικητήριον ᾠδήν·

***Ἀλληλούϊα.***

Λύμην πᾶσαν τῆς κακίας ἀπεδίωξας μακράν, καρτερίᾳ ὑπομείνας τὰ τοῦ βίου λυπηρὰ καὶ βαστάσας ἀδελφῶν σου βάρη πάντα ἐν χαρᾷ. Ὅθεν τὸ τοῦ Ἀποστόλου λόγιον πεπληρωκώς, γέγονας Θεοῦ ἀγάπης φύλαξ καὶ ἐγγυητής, Τούτου δὲ τῆς Βασιλείας Ἰωάννη κοινωνὸς καὶ τῶν αἰωνίων δώρων κληρονόμος εὐκλεής. Πᾶσας σου

www.tezaurliturgic.ro

τὰς ἀριστείας μακαρίζοντες καὶ νῦν, οἱ ἱκέται σου βοῶμεν ἐκ βαθέων σοι ψυχῆς·

Χαίροις ὁ λύχνος τῆς εὐποιΐας·
χαίροις ὁ στῦλος τῆς ἀληθείας.

Χαίροις ὁ πιστοποιήσας τοῦ Θεοῦ πολλὴν ἰσχύν·
χαίροις ὁ ἐκμηδενίσας τῶν δαιμόνων τὴν πληθύν.

Χαίροις ῥάβδῳ ὁ ποιμάνας Ῥώσσους τῆς διασπορᾶς·
χαίροις τῷ Θεῷ συνάξας πρόβατα τὰ λογικά.

Χαίροις ὁ ἐν ἀσθενείαις δοὺς Κυρίῳ σου τὴν δόξαν·
χαίροις ἐν εὐχαριστίαις σὴν καρδίαν ἀναλώσας.

Χαίροις ἀρχιερατείας ὁ χρισθεὶς τῷ θείῳ μύρῳ·
χαίροις ὁ κατακαλύνας τοῦ Θεοῦ ἅγιον κλῆρον.

Χαίροις ὁ εὐωδιάζων τῶν χαρίτων ταῖς ὀδμαῖς σου·
χαίροις ὁ ἐπιστηρίζων πάντας θείαις προσευχαῖς σου.

***Χαίροις Ῥώσσων ἐπίσκοπε.***

Μάρτυς τοῦ Χριστοῦ ἐγένου συνειδήσει καθαρᾷ, πᾶσας ἐντολὰς τηρήσας Ἰωάννη ἀκριβῶς καὶ Βαπτίσματος μὴ χράνας τὸν χιτῶνα τὸν λευκόν, ἀλλὰ τοῦτον ἀποδώσας τῷ Δεσπότῃ σου λαμπρόν, ἐν ἱδρῶσι σου τιμίοις στολισθέντα ἱερῶς. Ὅθεν σὺν χοροῖς Μαρτύρων, σὺν Ὁσίων στρατιαῖς, σὺν Ἱεραρχῶν τοῖς δήμοις καὶ σὺν τάξεσι σεπταῖς τῶν Ἀγγελικῶν ταγμάτων, ὕμνον ψάλλεις ἐκτενῶς τῷ Θεῷ τῷ ἐν Τριάδι καὶ οὐράνιον ᾠδήν·

***Ἀλληλούϊα.***

Νεῖλος ὥσπερ ἄλλος βλύζεις ἀπειράριθμον πληθὺν τῶν θαυμάτων Ἰωάννη καθ' ἑκάστην τοῖς πιστοῖς, τοῦ Θεοῦ ἀποκαλύπτων παντοδύνα-

μον ἰσχὺν καὶ καθυπογράφων Τούτου τὸ πολὺ ἐν οἰκτιρμοῖς. Ὅθεν πάντες ἐν αἰνέσει τῶν θαυμάτων σου σειρᾶς ᾄδομεν ἐν εὐφροσύνῃ, δόξαν νέμοντες Θεῷ τῷ ἐν σοὶ τερατουργοῦντι καὶ ποιοῦντι τὰ φρικτά, ἅμα δὲ εὐχαριστίας λέγομέν σοι ἐν φωναῖς·

Χαίροις ὁ ἄριστος ἐν ἀγῶσιν·
χαίροις ἀκάματος ἐν ἱδρῶσιν.

Χαίροις τῆς θαυματουργίας ὁ ἀείῤῥους ποταμός·
χαίροις πρὸς τὸν Παντουργέτην ἡμῶν πάντων ἱλασμός.

Χαίροις τῶν ἐν ἀπορίᾳ συμπαθέστατος Πατήρ·
χαίροις τῆς εὐσυμπαθήτου ἱλαρότητος κρατήρ.

Χαίροις πόλις ἐπὶ ὄρους τοῦ ἁγίου ἱσταμένη·
χαίροις φῶς Εὐαγγελίου τοῖς ἐν γῇ παρεχομένη.

Χαίροις τῆς θεοσεβείας ὁ ἀκλόνητος στυλίτης·
χαίροις πίστεως ἁγίας ὁ ἀστράπτων μαργαρίτης.

Χαίροις τῶν θαλαττευόντων ἐν ὀδύναις ὁ λιμήν·
χαίροις Ῥώσσων ἐν ἡμέραις δυσχερείας ὁ ποιμήν.

***Χαίροις Ῥώσσων ἐπίσκοπε.***

Γένους πάντας Ἰωάννη ἐν ἁπλότητι ψυχῆς καὶ φιλαδελφείας τρόποις διηκόνεις ἀγαθῶς, τοῦ Δεσπότου σου ὑπείκων τῇ πρωτίστῃ ἐντολῇ καὶ πιστοὺς τῇ σῇ ἀγάπῃ τῷ Θεῷ συναγαγών. Πᾶσιν οὖν ἡμῖν ἐγένου τύπος καὶ ὑπογραμμός, ὑπεμφαίνων ἐν τοῖς ἔργοις τοῖς ἁγίοις σου τὸ φῶς, ὁ Χριστὸς ἐστὶ τῷ κόσμῳ. Καὶ πρὸς τοῦτο ὁδηγῶν ἀπλανεῖ χειραγωγείᾳ Ἱεράρχης ὡς σοφός, εἰς δοξολογίαν πάντας παραινεῖς τοὺς γηγενεῖς, τοῦ προσᾴδειν ἀπροσκό-

www.tezaurliturgic.ro

πτως τῷ Θεῷ τῷ φωτουργῷ ὕμνον μετ' εὐχαριστίας καὶ τὴν ἄληκτον ᾠδήν·

*Ἀλληλούϊα.*

Οὐρανὸς καθάπερ ἄλλος ἔμψυχος καὶ λογικός, διηγεῖσαι Ἰωάννη μεγαλεῖα τοῦ Θεοῦ καὶ τὴν ὑπερτάτην δόξαν καὶ τὴν δύναμιν Αὐτοῦ. Μαθητεύοντες ἐν πίστει καὶ ἡμεῖς σαῖς διδαχαῖς καὶ προκόπτοντες εὐχαῖς σου ἐν ταῖς θείαις ἐντολαῖς, τῷ Θεῷ τῷ Νομοδότῃ δόξαν νέμομεν ἀεί· σοὶ δὲ τῷ πιστῷ ἐργάτῃ καὶ θεράποντι Αὐτοῦ, οἰκονόμῳ τε ἀξίῳ κληρουχίας τῆς Αὐτοῦ, ὕμνον ψάλλομεν ἀξίως λέγοντες μιᾷ φωνῇ·

Χαίροις τὸ κλέος Ἀρχιερέων·
χαίροις ὁ ἔπαινος τῶν Δικαίων.

Χαίροις τῆς αὐλῆς Κυρίου ἡ κατάκαρπος ἐλαία·
χαίροις πίστεως τιμίας ἡ θεόγραφος σημαία.

Χαίροις ἄνερ θελημάτων ἱερῶν ἐκπληρωτά·
χαίροις Πάτερ τῶν πενήτων πρόθυμε προασπιστά.

Χαίροις τῆς θεολογίας περισπούδαστος υἱός·
χαίροις τῆς θεογνωσίας ὁ γλυκύτατος καρπός.

Χαίροις κρήνη ἡ πληροῦσα τοὺς ἐν δίψει τηκομένους·
χαίροις νέκταρ τὸ εὐφραῖνον τοὺς δεινοῖς κεκρατημένους.

Χαίροις τῆς ἀφθάρτου δόξης ὁ μεγάλος ἀριστεύς·
χαίροις τῶν φθορᾷ πεσόντων θεοφόρος προνομεύς.

*Χαίροις Ῥώσσων ἐπίσκοπε.*

Παραμύθιον ἐγένου Ἰωάννη τοῦ λαοῦ, ἀθυμίαν ἐκδιώκων ἐκ τῶν καρδιῶν αὐτῶν τῇ ἁπλότητι σῶν λόγων καὶ σοφαῖς σου διδαχαῖς, ἐν ἀγάπῃ

www.tezaurliturgic.ro

πρὸς τοὺς πάντας ἀληθεῖ διατελῶν. Ἅμα τε καὶ βακτηρία γέγονας τῶν ἀσταθῶν, ἐν τῷ φόβω τοῦ Κυρίου σταθερῶς διακρατῶν καὶ στηρίζων τοὺς ἐν ζάλῃ κλονουμένους τῶν δεινῶν. Ταῖς καλαῖς σου ὑποθήκαις στηριχθέντες καὶ ἡμεῖς, ᾄσμασιν ἐπευφημοῦμεν τῶν ἐπάθλων σου σειρὰς καὶ βοῶμεν εὐχαρίστως τῷ Θεῷ ᾠδὴν φωτός·

***Ἀλληλούϊα.***

Ῥεῦμα ματαιοφροσύνης τῇ πληρότητι σοῦ βίου κατεξήρανας εἰς τέλος ταπεινόφρον Ἰωάννη καὶ ἐν πλησμονῇ μετέσχες ἀγαθῶν τῶν αἰωνίων. Τῷ Κυρίῳ γὰρ πιστεύσας ἐν ἀμεταθέτῳ γνώμῃ, ἔλαβες τὸν ὑπερπλήρη ποταμὸν τῶν χαρισμάτων, ὡς ὑπέσχετο Ἐκεῖνος δοῦναι τοῖς πιστοῖς πλουσίως, ῥέοντα ἐκ τῆς κοιλίας τῆς ψυχῆς σου ἀκωλύτως. Τῶν ναμάτων ὅθεν τούτων μετασχεῖν ἐπιποθοῦντες, οἱ τιμῶντες σου τὴν μνήμην τὴν σεπτὴν ἐν εὐλαβείᾳ, τὰς πρὸς Κύριον λιτάς σου ἐξαιτούμεθα βοῶντες ταῦτα σοι ἐν ἁρμονίᾳ·

Χαίροις ὁ φίλος τοῦ σοῦ Νυμφίου·
χαίροις ὁ λύχνος τοῦ σοῦ ποιμνίου.

Χαίροις ὁ ἐν ἐγρηγόρσει τὴν ψυχήν σου ἑτοιμάσας·
χαίροις προσευχῆς ἐλαίῳ τὴν λαμπάδα ὁ ἀνάψας.

Χαίροις ἀκροτάτου βίου τύπος καὶ ὑπογραμμός·
χαίροις θείας θεωρίας νοῦς ὁ πάνυ ἱερός.

Χαίροις ὁ ἐν τῇ ἀγάπῃ τῇ τελείᾳ διαπρέψας·
χαίροις ὁ ἐν ταπεινώσει τῇ ἁγίᾳ ἀριστεύσας.

Χαίροις τῶν Ἁγίων πάντων ὁ λαμπρύνας τὰς χορείας·
χαίροις τῶν Ἀγγέλων φθάσας τὰς ἀΰλους στρατηγίας.

www.tezaurliturgic.ro

Χαίροις κλέος τῆς Ῥωσσίας ἐν δυστήνοις τοῖς καιροῖς·
χαίροις κάλλος Ἐκκλησίας ἐν υἱοῖς τοῖς ἐκλεκτοῖς.

***Χαίροις Ῥώσσων ἐπίσκοπε.***

Σαλῶν ἐνθέους τρόπους ἐζήλωσας καλῶς καὶ εἰς γῆν κατέῤῥιψας κακίας σοφιστήν, τὸν Θεὸν δὲ ηὔφρανας σοφίας τὴν πηγήν, Ἰωάννη ὅσιε σεπτὲ Ἀρχιερεῦ. Δι᾽ Αὐτόν γὰρ γέγονας τῷ πνεύματι πτωχὸς καὶ ἀξίως ἔτυχες πολλῶν μακαρισμῶν, ἐν φωτὶ δὲ ᾤκησας, ὡς Χριστὸς ὑπέσχετο, Βασιλείαν ἄληκτον τὴν τῶν Οὐρανῶν. Ἐν ᾗ αἰωνίου δόξης μετασχών, σὺν τοῖς ἐκλεκτοῖς, τῆς χαρᾶς τὴν αἴνεσιν προσφωνεῖν ἠξίωσαι, ψάλλων ἐκτενῶς τῷ παντουργῷ Θεῷ·

***Ἀλληλούϊα.***

Τριάδος τῆς ἁγίας ὑπέρμαχος τελῶν, τὰς βουλὰς κατῄσχυνας ἀθέων δυσσεβῶν καὶ Ἁγίων ὕψωσας τὴν μνήμην τὴν σεπτήν, ὧν τοὺς ἄθλους ἔστερξας ἑπόμενος καλῶς καὶ τιμῶν τοῖς ἔργοις σου αὐτῶν τὴν βιοτήν. Καὶ ἡμεῖς τιμῶντές σου ἐν ᾄσμασι καινοῖς, Ἰωάννη πάνσεπτε τὰς πλείστας ἀρετάς, ἃς Θεῷ προσήγαγες ὡς θείαν ἀπαρχήν, δόξαν τούτῳ νέμομεν ὡς δοῦλοι ταπεινοὶ καὶ σοὶ πόθῳ λέγομεν τοιάδε ἐκτενῶς·

Χαίροις ὁ θύτης ἐν εὐλαβείᾳ·
χαίροις ὁ πρέσβυς ἐν παῤῥησίᾳ.

Χαίροις θείων ἀγγελμάτων ὁ πιστὸς ἐκπληρωτής·
χαίροις νόμου προσταγμάτων ὁ ἐχέφρων τηρητής.

Χαίροις τῆς θεολογίας ἐν τῇ πράξει ὑπηρέτης·
χαίροις τῆς φιλοσοφίας τῆς ὑψίστης νομοθέτης.

www.tezaurliturgic.ro

Χαίροις ὁ πολλοὺς διδάξας Οὐρανοῦ τὴν θείαν τάξιν·
χαίροις ἔργον ὁ ποιήσας τὴν ἀνόθευτον ἀγάπην.

Χαίροις ἄνω σὴν καρδίαν μεταθέσας ἐν συνέσει·
χαίροις τῶν ματαίων πάντων ἀποστὰς ἐν ἐπιγνώσει.

Χαίροις τῆς δικαιοσύνης περισπούδαστος υἱός·
χαίροις τῆς θεοπειθείας ὁ καλλίκαρπος βλαστός.

***Χαίροις Ῥώσσων ἐπίσκοπε.***

Ὑπηρέτης τοῦ Κυρίου γέγονας ἐν τῷ Ναῷ, Τούτῳ νέμων Ἰωάννη τὰς λατρείας ἐκτενῶς, ὡς τῇ τάξει τῇ ἁγίᾳ ἔννομος Ἀρχιερεὺς καὶ τῷ ὕψει σῆς καρδίας ἄγγελος μετὰ σαρκός. Τῆς ἐνθέου λειτουργίας μετασχὼν ἐν οὐρανοῖς, ἔνθα τάξεις τῶν Ἀγγέλων λιτανεύουσι Θεῷ καὶ λατρεύουσιν ἀπαύστως δόξαν ψάλλοντες Αὐτῷ, ὕμνον προσφωνεῖς συμφώνως τὸν Τρισάγιον Θεῷ, προσκαλεῖς δὲ πάντας ἅμα τοῦ συμψάλλειν τὴν ᾠδήν·

***Ἀλληλούϊα.***

Φῶς φωτὸς ἐξ ἀνεσπέρου Ἰωάννη προσλαβών, φαίνεις πᾶσι τοῖς ἐν σκότει τὴν ἀνέκλειπτον χαρὰν καὶ χειραγωγεῖς πρὸς τρίβον τὴν εὐθείαν τῆς ζωῆς, ἔνθα οὐ προσκύπτει ὅστις τῷ Κυρίῳ πειθαρχεῖ. Καὶ ἡμεῖς τῶν φωτεινῶν σου ἔργων τὴν λαμπρὰν πληθύν, καθορῶντες χαρμοσύνως μέλπομεν τὰ θαυμαστὰ τῆς τελείας πολιτείας, ἣν μετῆλθες ἐν φωτὶ καὶ φωνοῦμεν ἐν πληρώσει ταῦτα σοι χαρμονικῶς·

Χαίροις Κυρίου ὁ ὑπηρέτης·
χαίροις ἐχθίστου ὁ καθαιρέτης.

Χαίροις Πνεύματος Ἁγίου τὸ πολύτιμον δοχεῖον·
χαίροις θείων δωρημάτων τὸ πληρέστατον ταμεῖον.

Χαίροις τοῦ φωτὸς τὰ ἔργα ὁ ἐν βίῳ σου ποιήσας·
χαίροις τρίβον τὴν εὐθείαν ἀπροσκόπτως βηματίσας.

Χαίροις ὁ ἐν εὐχερείᾳ τοὺς Ὁσίους ἀντιγράψας·
χαίροις ὁ ἐν εὐφροσύνῃ οὐρανοὺς ἐξιχνιάσας.

Χαίροις τῆς καλῆς στρατείας ὁ τελέσας τὴν πορείαν·
χαίροις τῶν ἁγνῶν καμάτων ὁ λαβὼν τὴν παγκαρπίαν.

Χαίροις Ῥώσσων εὐσεβούντων ἡ σεβάσμιος μορφή·
χαίροις τῶν πιστῶν ἁπάντων γαληνόμορφος πνοή.

***Χαίροις Ῥώσσων ἐπίσκοπε.***

Χρισθεὶς ἱερατείας τῷ μύρῳ τῷ σεπτῷ, Κυρίου Ἰωάννη εἰς τόπον ἱερὸν καὶ τύπον ἔστης τούτου δειχθεὶς Ἀρχιερεύς, κοσμήσας θρόνους δύο Ῥώσσων Διασπορᾶς. Τούς ἄρνας δὲ ποιμάνας Χριστοῦ τοὺς λογικούς, εἰς τόπον χλόης θείας, ὑδάτων εἰς πηγάς, ἐξέθρεψας γνησίως ἐν ἄρτῳ ζωτικῷ καὶ ἔσβεσας τὴν δίψαν ἐν ὕδασι ζωῆς, αὐτῶν ψυχὰς ποιήσας ἀντὶ φθαρτῶν καινάς. Γηθόμενοι οὖν πάντες, υἱοὶ ὡς εὐπειθεῖς, ἐν ἐπιγνώσει πλήθους χρηστῶν σου δωρεῶν, ὡς προσφορὰν θυσίας βοῶμεν τῷ Θεῷ ἐν ἐκτενεῖ αἰνέσει ᾠδὴν ἀγγελικήν·

***Ἀλληλούϊα.***

Ψυχήν σου τὴν ἁγίαν, χερσὶ τοῦ πλαστουργοῦ Θεοῦ σου ἐναπέθου, ὡς δίκαιος υἱός, κερδίσας Ἰωάννη τὸν κλῆρον τῆς ζωῆς. Ἀφθάρτων κοινωνήσας ἐν δόξῃ ἀγαθῶν, ἃ πρὸ αἰώνων πάντων ἡτοίμασε Πατήρ, Τριάδος τῆς ἁγίας τῷ Θρόνῳ τῷ σε-

www.tezaurliturgic.ro

πτῷ, παρίστασαι πρεσβεύων ἀεὶ ὑπὲρ ἡμῶν. Ὡς πένητες ἱκέται ἑστῶτες καὶ ἡμεῖς, τὴν σὴν μεγαλωσύνην ὑμνοῦμεν πρεπωδῶς, βοῶντες σοι τοιάδε φωναῖς ὑψοποιαῖς·

Χαίροις φερώνυμε τοῦ Ἀγγέλου·
χαίροις ὁμώνυμε τοῦ Προδρόμου.

Χαίροις λειτουργὲ μεγάλε τῆς λαμπρότητος Κυρίου·
χαίροις θεωρὲ τῆς δόξης καὶ φωτὸς τοῦ αἰωνίου.

Χαίροις τῶν ἐν ἀσθενείαις συμπαθέστατος ἀκέστωρ·
χαίροις τῶν ἐν ταῖς ἀνάγκαις τῆς πενίας ἀντιλήπτωρ.

Χαίροις ἐν ἀγαθωσύνῃ τὰς πορείας σου εὐθύνας·
χαίροις ἀγαθῶν ποιμένων τὰ συστήματα φαιδρύνας.

Χαίροις τῆς χρηστῆς ἐλπίδος ὁ λαβὼν τὰς ἀντιδόσεις·
χαίροις τῷ Ὑπεραγάθῳ δοὺς ψυχῆς ὁλοκαρπώσεις.

Χαίροις ποταμὸν θαυμάτων ἐξ ἀφθάρτου σκήνους βλύζων·
χαίροις θησαυρὸν ἐλέους τοῖς τιμῶσι σε ὁ δίδων.

***Χαίροις Ῥώσσων ἐπίσκοπε.***

Ὠ πανίερε Πάτερ, Ὁσίων καὶ Δικαίων τὸ στέφος, κλεινῶν Ἱεραρχῶν τε ἡ δόξα (γ′) ὁ ἐν τῇ σῇ σοφῇ σαλότητι Θεὸν τὸν πάνσοφον ἐν μετοχῇ ἐγγίσας καὶ ἐν στεῤῥᾷ ἀσκήσει σου ἐχθρὸν τὸν δόλιον νικητικῶς συντρίψας· ὁ στυλιτῶν τῶν πάλαι τοὺς ἀγῶνας τοὺς καλοὺς ζηλώσας, Ἀρχιερέων δὲ τῶν θείων τῇ ὁδῷ ἑπόμενος ἐν εὐπειθείᾳ, ὧν καὶ σεμνύνεις τὴν ὁμήγυριν ἐν χρόνοις τοῖς ὑστάτοις τῆς δυσχερείας, ποιμάνας Ῥώσσους τῆς Διασπορᾶς ἐν ἁγιότητι καὶ λάμπων ἐν ἀφθαρσίᾳ τοῦ σοῦ λειψάνου, ἐξ οὗ ἰάσεις βλύζουσιν ποταμηδὸν ἑκάστῳ

www.tezaurliturgic.ro

τῷ σὲ καλοῦντι· δέξαι ἐκ στειρευούσης διανοίας αἴνεσιν καὶ ὕμνον καρδίας μου χερσωθείσης, καινὴν καὶ καρποφόρον ποιῶν ταύτην ἱκεσίαις σου, τοῦ ψάλλειν Θεῷ αἰτίῳ καλῶν ἁπάντων ἀδιαλείπτως·

***Ἀλληλούϊα.***

Καὶ πάλιν τὸ Κοντάκιον.

Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Ἱεραρχίας τιμηθεὶς τῷ ἀξιώματι, καὶ ἀληθείας πορευθεὶς τοῖς δικαιώμασι, ταῦτα ἔργοις σου ὑπέγραψας Ἰωάννη. Διοράσεως τῷ κάλλει λαμπρυνόμενος, καὶ θαυμάτων δωρεαῖς διακρινόμενος· σοὶ οὖν μέλπομεν· Χαίροις Ῥώσσων ἐπίσκοπε.

Πρὸ δὲ τοῦ δι᾿ εὐχῶν, τὸ ἀκόλουθον.
Ἦχος γ΄. Τὴν ὡραιότητα.

Πηγὴν ἀθάνατον, Χριστὸν ἐπέγνωκας, τούτῳ ἑπόμενος, ψυχῆς εὐθύτητι, Ἀρχιερεὺς κατασταθείς, τῶν Ῥώσσων ὦ Ἰωάννη· στέρξας τὴν ἐγκράτειαν, καὶ σαλῶν τὴν ταπείνωσιν· γράψας κατορθώματα, στυλιτῶν ἐν πιστότητι· διὸ ἐκ τοῦ ἀφθάρτου σου σκήνους· βλύζει θαυμάτων πλείστη χάρις.

Δίστιχα Ἀκροτελεύτια

Τὴν λειτουργίαν δέχου μου τῶν ὕμνων Ἰωάννη,
ὁ λειτουργήσας τῷ Θεῷ ὡς Ῥώσσων Ἀρχιθύτης,
νῦν δὲ Ἀγγέλοις συνῳδὰ ὕμνον ἀπαύστως ᾄδεις,
ὑμνῶν τὸν Ὑπερύμνητον Θεὸν εἰς τοὺς αἰῶνας,

www.tezaurliturgic.ro

Ὃν εὐμενῆ πρεσβείαις σου ποίησον σοῖς ἱκέταις,
ἐν ὕμνων τούτων προσφοραῖς φθέγγεται Ἰσιδώρα.

Θαυμάτων σου ταῖς χάρισι πλῆσον μου τὴν καρδίαν,
συνάμα πόθῳ ἐκβοᾷ Γεώργιος ἱκέτης,
τὰ θαυμαστὰ τοῦ βίου σου ᾄδειν ἐπιποθήσας,
καὶ χαίροις σοι ἀναφωνῶν ἀπαύστως Ἰωάννη.

Ὁμοῦ τοὺς μεγαλύνοντας σὴν μνήμην ἐν αἰνέσει,
μεγάλης δόξης ποίησον μετόχους εἰς αἰώνας,
εὐχαῖς σου πρὸς Ὕψιστον ἀπαύστοις Ἰωάννη,
ἵνα φωτὸς οἰκήσωμεν σκηνώσεις μετ' Ἀγγέλων,
Πατρί, Υἱῷ καὶ Πνεύματι νέμοντες τὴν λατρείαν.

www.tezaurliturgic.ro

Ἑλλήνων χορείας λειτουργόν,
Ἰωάννην, μέλψωμεν
Μοναστηρίου γηθόμενοι
Σερβίας κράζοντες·
τήν χειμαζομένην
ταύτην μειονότητα
ὁ λόγοις ἀναψύξας ἐνθέοις σου
πᾶσιν ἀνέδειξας
πρός ἐμπεριστάτους ἅπαντας
σήν ἀγάπην,
σεπτέ, καί συμπάθειαν.

*(Ἐκ τοῦ μικροῦ Ἑσπερινοῦ)*